ABC ΛΑW M ROΣE S 2 κατὰ γῆν: κατ' αὐτὴν O add τὴν ante γῆν W 3 στοιχεῖα post φύσιν coll Λ 4 τὴν om R παρ': γὰρ M[1] 6 τὰ om Λ[1] ἰδιότητα: ἐναντιότητα B 6–7 ποιότητα τῶν ἰδιοτήτων ΣE 7 διαχωρεῖ: inter ρ et ε unam litt eras M 8 τὰ κιρνάμενα R 9 τὰ: τῶ O κάτω: κατα O 10 διὰ τῶν ἀκτίνων om RO 12 παρὰ: περὶ O ἑαυτῶν O γίνεται Λ 13 αἰθέριον: θερμὸν O 14 μὴ om M[1] ἐπιχεόμενον O 16 κατάλληλος L κατάλληλον v προσφυομένην Λ (sscr ἐμ) 17 τε: δὲ W τὴν alt om B post τὴν alt add τε W 19 εὐαρμονίους O ὑποστάσεις M 20 τῆς ψυχῆς om M

ἐμφαινομένη καὶ διὰ πάντων ἥκουσα τά τε μέρη συναρμόζει τῷ ὅλῳ καὶ τὸ ὅλον συμπληροῖ ἐν τοῖς μέρεσι καὶ μιᾷ τινι περικρατεῖται δυνάμει τὸ πᾶν αὐτὸ ἐν ἑαυτῷ μένον καὶ περὶ ἑαυτὸ κινούμενον καὶ οὔτε λῆγόν ποτε τῆς κινήσεως οὔτε εἰς ἄλλον τινὰ τόπον παρὰ τὸν ἐν ᾧ ἐστι μεθιστάμενον;

Καὶ πῶς, εἶπον, ἡ περὶ τοῦ εἶναι τὸν θεὸν πίστις καὶ τὴν ψυχὴν εἶναι τὴν ἀνθρωπίνην συναποδείκνυσιν; οὐ γὰρ δὴ ταὐτόν ἐστι τῷ θεῷ ἡ ψυχή, ὥστε εἰ τὸ ἓν ὁμολογοῖτο εἶναι, συνομολογεῖσθαι πάντως καὶ τὸ λειπόμενον.

Ἡ δέ, Λέγεται, φησί, παρὰ τῶν σοφῶν μικρός τις εἶναι κόσμος ὁ ἄνθρωπος ταῦτα περιέχων ἐν ἑαυτῷ τὰ στοιχεῖα, οἷς τὸ πᾶν συμπεπλήρωται. εἰ δὲ ἀληθὴς οὗτος ὁ λόγος, ἔοικε δέ, τάχα οὐκ ἂν ἑτέρας δεηθείημεν συμμαχίας εἰς τὸ βεβαιωθῆναι ἡμῖν, ὃ περὶ ψυχῆς ὑπειλήφαμεν· ὑπειλήφαμεν δὲ τὸ εἶναι αὐτὴν καθ' ἑαυτὴν ἐν ἐξηλλαγμένῃ τε καὶ ἰδιαζούσῃ φύσει παρὰ τὴν σωματικὴν παχυμέρειαν. ὡς γὰρ πάντα τὸν κόσμον διὰ τῆς αἰσθητικῆς ἀντιλήψεως ἐπιγινώσκοντες δι' αὐτῆς τῆς κατὰ τὴν αἴσθησιν ἡμῶν ἐνεργείας εἰς τὴν τοῦ ὑπὲρ αἴσθησιν πράγματός τε καὶ νοήματος ἔννοιαν ὁδηγούμεθα καὶ γίνεται ἡμῖν ὁ ὀφθαλμὸς ἑρμηνεὺς τῆς παντοδυνάμου

10–11 Democr. B34 (ed. Diels / Kranz); locus communis cf. Meissner, p. 212 ann. 99–102; cf. Greg. Nyss. Inscr. I 3 (GNO V) p. 30,24–26
16–14.6 cf. illud ὄψις τῶν ἀδήλων τὰ φαινόμενα: Anaxag. B21a (ed. Diels / Kranz); Democr. A111 (ed. Diels / Kranz); cf. e.g. Greg. Nyss. Eccl. 1 (GNO V) p. 284,11–285,2; cf. infra p. 18,19–19,4

ABC ΛAW M ROΣE S 1 καὶ om WM τε om v τῷ: τὸ B 2 τὸ ὅλον in ras W 2–3 δυνάμει περικρατεῖται coll Λ 3 ἑαυτὸ: ἑαυτῶ R αὐτὸ L 4 παρὰ τὸν om M 6 τοῦ: τὸ v 7 δὴ in corr Λ[2] δεῖ M 7–8 et sscr ἐστιν et om τῷ θεῷ M[1] 8 ἡ om RO ὡμολόγοιτο L ὁμολογεῖται CO 10 παρὰ: περὶ O κόσμος εἶναι coll RΣE 11 οἷς: εἰς ἃ MRO οἷς ἂν E 12 ὁ λόγος οὗτος coll O add τοῦτο ἀληθὲς εἶναι post ἔοικε δὲ RO 13 ἐδεήθημεν v 13–14 εἰς … ὑπειλήφαμεν pr om RO 13 ὃ: ὅπερ E add τῆς ante ψυχῆς W 14 ὑπειλήφαμεν alt: ἀπειλήφαμεν RO δὲ: γὰρ RO 14–15 συνεξηλλαγμένη O (ἐν om) ἠλλαγμένη M 15 παρὰ: περὶ O παχυμερίαν AB (corr ex παχυμέρειαν) L 16 ἅπαντα ΣES 18 τε om v post ἔννοιαν eras ἀν aut εν M 18–19 ποδηγούμεθα ΣE 19 ἡμῶν E ἑρμηνεύς: ἑρμηνευτὴς MROE

σοφίας τῆς τῷ παντὶ μὲν ἐνθεωρουμένης, τὸν δὲ καθ' αὑτὴν τοῦ παντὸς περιδεδραγμένον δι' ἑαυτῆς μηνυούσης, οὕτω καὶ πρὸς τὸν ἐν ἡμῖν βλέποντες κόσμον οὐ μικρὰς ἔχομεν ἀφορμὰς πρὸς τὸ διὰ τῶν φαινομένων καὶ τοῦ κεκρυμμένου καταστοχάσασθαι· κέκρυπται δὲ ἐκεῖνο, ὃ ἐφ' ἑαυτοῦ ὂν νοητόν τε καὶ ἀειδὲς διαφεύγει τὴν αἰσθητικὴν κατανόησιν.

Κἀγὼ εἶπον Ἀλλὰ τὴν μὲν τοῦ παντὸς ὑπερκειμένην σοφίαν διὰ
29 M τῶν ἐνθεωρουμένων τῇ φύσει τῶν |ὄντων σοφῶν τε καὶ τεχνικῶν λόγων ἐν τῇ ἐναρμονίῳ ταύτῃ διακοσμήσει δυνατόν ἐστιν ἀναλογίσασθαι, ψυχῆς δὲ γνῶσις διὰ τῶν κατὰ σῶμα δεικνυμένων τίς ἂν γένοιτο τοῖς ἀπὸ τῶν φαινομένων τὸ κρυπτὸν ἀνιχνεύουσιν;

Καὶ μάλα μέντοι, φησὶν ἡ παρθένος, τοῖς κατὰ τὸ σοφὸν ἐκεῖνο παράγγελμα γινώσκειν ἑαυτοὺς ἐπιθυμοῦσιν ἱκανὴ διδάσκαλος τῶν περὶ ψυχῆς ὑπολήψεων αὐτὴ ἡ ψυχή, ὅτι ἄϋλός τίς ἐστι καὶ ἀσώματος καταλλήλως τῇ ἰδίᾳ φύσει ἐνεργοῦσά τε καὶ κινουμένη καὶ διὰ τῶν σωματικῶν ὀργάνων τὰς ἰδίας κινήσεις ἐνδεικνυμένη. ἡ γὰρ ὀργανικὴ τοῦ σώματος αὕτη διασκευὴ ἔστι μὲν οὐδὲν ἧττον καὶ ἐπὶ τῶν ἀπονεκρωθέντων διὰ θανάτου, ἀλλ' ἀκίνητός τε μένει καὶ ἀνενέργητος τῆς ψυχικῆς δυνάμεως ἐν αὐτῇ μὴ οὔσης, κινεῖται δὲ τότε, ὅταν ἥ τε αἴσθησις ἐν τοῖς ὀργάνοις ᾖ καὶ διὰ τῆς αἰσθήσεως ἡ νοητὴ δύναμις διήκῃ ταῖς ἰδίαις ὁρμαῖς συγκινοῦσα πρὸς τὸ δοκοῦν τὰ ὀργανικὰ αἰσθητήρια.

12–14 cf. Cic. Tusc. I 52. 13 (γινώσκειν ἑαυτοὺς) locus communis cf. e.g. Plat. Alcib. 130e8–9; Courcelle, Connais-toi toi-même, passim 16–22 cf. supra p. 4,4 (ὅταν) – 15 (μεταχωρούσης); Greg. Nyss. Op. hom. 29 (PG 44) 237A; Or. cat. 11 (GNO III,4) p. 39,15–18

ABC ΛΛW M ROΣE S 1 δὲ om M κατ' Λv αὐτὴν Λv ἑαυτὴν M αὐτὸν RO ἑαυτὸν AB 4 κρυμμένου M 5 δ' C ὂν: ὃ A ὃ post ἀειδὲς coll RO 7 μὲν om v 8 θεωρουμένων E 9 λόγων om ABC ἁρμονίω O ἁρμονίᾳ v post ταύτῃ add καὶ v 10 add τὸ ante σῶμα Bv 12 μάλιστα Wv 13 ἱκανὴ: εἰ καν ἡ L (εἰ in ras) εἰ κἂν ἡ v διδασκαλία O 14 αὕτη CE τίς om CW ἐστι om v 16 ἐνδεικνυμένη: ἐνεργουμένη R 17 κατασκευὴ RO 18 ἀλλὰ CR τε om v μένει: ὑπάρχει W om O 20 τότε: τοῦτο E τε om R ὀργανικοῖς ΣE 21 δύναμις διήκῃ om C διήκει BMO διήκηται A ἐνεργῇ W (in mg διήκῃ m alt)

Τί οὖν, εἶπον, ἐστὶν ἡ ψυχή, εἰ δυνατὸν λόγῳ τινὶ τὴν φύσιν ὑπογραφῆναι, ὡς ἄν τις γένοιτο ἡμῖν τοῦ ὑποκειμένου διὰ τῆς ὑπογραφῆς κατανόησις;

Καὶ ἡ διδάσκαλος, Ἄλλοι μὲν ἄλλως, φησί, τὸν περὶ αὐτῆς ἀπεφήναντο λόγον κατὰ τὸ δοκοῦν ἕκαστος ὁριζόμενοι, ἡ δὲ ἡμετέρα περὶ αὐτῆς δόξα οὕτως ἔχει· ψυχή ἐστιν οὐσία γενητή, οὐσία ζῶσα, νοερά, σώματι ὀργανικῷ καὶ αἰσθητικῷ δύναμιν ζωτικὴν καὶ τῶν αἰσθητῶν ἀντιληπτικὴν δι᾽ ἑαυτῆς ἐνιεῖσα, ἕως ἂν ἡ δεκτικὴ τούτων συνεστήκῃ φύσις. καὶ ἅμα ταῦτα λέγουσα δείκνυσι τῇ χειρὶ τὸν ἰατρὸν τὸν ἐπὶ θεραπείᾳ τοῦ σώματος αὐτῇ προσκαθήμενον καί φησιν Ἐγγὺς ἡμῖν τῶν εἰρημένων ἡ μαρτυρία· πῶς γάρ, εἶπεν, οὗτος ἐπιβαλὼν τῇ ἀρτηρίᾳ τὴν τῶν δακτύλων ἁφὴν ἀκούει τρόπον τινὰ διὰ τῆς ἁπτικῆς αἰσθήσεως τῆς φύσεως πρὸς αὐτὸν βοώσης καὶ τὰ ἴδια πάθη διηγουμένης, ὅτι ἐν ἐπιτάσει ἐστὶ τῷ σώματι τὸ ἀρρώστημα καὶ ἀπὸ τῶνδε τῶν σπλάγχνων ἡ νόσος ὥρμηται καὶ ἐπὶ τοσόνδε παρατείνει τοῦ φλογμοῦ ἡ ἐπίτασις; διδάσκεται δὲ καὶ ὑπὸ τοῦ ὀφθαλμοῦ ἄλλα τοιαῦτα πρός τε τὸ σχῆμα τῆς κατακλίσεως βλέπων καὶ πρὸς τὴν τῶν σαρκῶν τηκεδόνα· καὶ ὡς ἐπισημαίνει τὴν ἔνδον διάθεσιν τό τε εἶδος τοῦ χρώματος ὕπωχρόν τε

1 cf. Plat. Phaed. 79b7 6 γενετή scil. κτιστή· cf. infra p. 26,6 (Οὐκοῦν) – 9 (ἑκάτερον) et 18 (ἐν) – 27,1 (φύσις); aliter Plat. Phaedr. 245e6–246a2, sed cf. Tim. 34b10 ff.; cf. Tertul. An. 4 16–16.7 cf. e.g. Hippocr. Ars 11–12 et Progn. 2; 3; 5

ABC LΛW (M) ROΣE S 1 εἶπον post ἐστὶν coll ΣE post 3 κατανόησις coll RO ἡ om R τινὶ om RO 3 γραφῆς E 4 τὸν om B post περὶ add τῆς M (post τῆς adscr φύσεως M²) 5 ὁριζόμενος ΣE ὁριζόμεθα O 6 γεννητὴ Ov 7 add οὐσία ante νοερά S 7–18.1 νοερά … πλέον om M scil deficit exemplar, sed suppl M² in mg 8 αὐτῆς O ἐνιοῦσα v 9 συνεστήκῃ Krabinger ad loc, cf. infra 57,5–6: συνίσταται W om R συνέστηκε cett v (συνεστηκυῖα φαίνοιτο Monac gr 192 Krabinger in tx) add ἡ ante φύσις R 10 add τῇ ante θεραπείᾳ ΣE παρακαθήμενον RO καί: ναὶ O 12–13 ἀκούει τρόπον τινά: ἄνευ τρόπου τινὸς O 13 διὰ τῆς: δι᾽ W¹ τῆς φύσεως post βοώσης coll ROΣES 14 ἔσται O 17–18 κατακλήσεως BLO 18 τῆς σαρκὸς WO σηπεδόνα M² 19 ἔνδοθεν AW χρώματος: σώματος Λ²WR ὑποχρὸν O

ὃν καὶ χολῶδες καὶ ἡ τῶν ὀμμάτων βολὴ περὶ τὸ λυποῦν τε καὶ ἀλγῦνον αὐτομάτως ἐγκλινομένη, ὡσαύτως δὲ καὶ ἡ ἀκοὴ τῶν ὁμοίων διδάσκαλος γίνεται τῷ τε πυκνῷ τοῦ ἄσθματος καὶ τῷ συνεκδιδομένῳ μετὰ τῆς ἀναπνοῆς στεναγμῷ τὸ πάθος ἐπιγινώσκουσα. εἴποι δ' ἄν τις μηδὲ τὴν ὄσφρησιν τοῦ ἐπιστήμονος ἀνεπίσκεπτον εἶναι τοῦ πάθους, ἀλλὰ διὰ τῆς ποιᾶς τοῦ ἄσθματος ἰδιότη-
32 M τος ἐπιγινώσκειν τὸ ἐγκεκρυμμένον τοῖς σπλάγχνοις ἀρ|ρώστημα. ἆρ' οὖν εἰ μή τις δύναμις ἦν νοητὴ ἡ ἑκάστῳ τῶν αἰσθητηρίων παροῦσα, τί ἂν ἡμᾶς ἡ χεὶρ ἀφ' ἑαυτῆς ἐδιδάξατο μὴ τῆς ἐννοίας πρὸς τὴν τοῦ ὑποκειμένου γνῶσιν τὴν ἀφὴν ὁδηγούσης; τί δ' ἂν ἡ ἀκοὴ διανοίας διεζευγμένη ἢ ὀφθαλμὸς ἢ μυκτὴρ ἢ ἄλλο τι αἰσθητήριον πρὸς τὴν ἐπίγνωσιν τοῦ ζητουμένου συνήργησεν, εἰ ἐφ' ἑαυτοῦ μόνου τούτων ἕκαστον ἦν; ἀλλ' ὃ πάντων ἐστὶν ἀληθέστατον, ὃ καλῶς τις τῶν τὰ ἔξω πεπαιδευμένων εἰπὼν μνημονεύεται τὸ νοῦν εἶναι τὸν ὁρῶντα καὶ νοῦν τὸν ἀκούοντα. εἰ γὰρ μὴ τοῦτο δοίη τις ἀληθὲς εἶναι, πῶς, εἰπὲ σύ, πρὸς τὸν ἥλιον βλέπων, καθὼς ἐδιδάχθης παρὰ τοῦ διδασκάλου βλέπειν, οὐχ ὅσος φαίνεται τοῖς πολλοῖς τοσοῦτον αὐτὸν φῂς εἶναι τῷ μεγέθει τοῦ κύκλου, ἀλλ'

15 Epich. B12 (ed. Diels / Kranz); Plat. Phaed. 65b1–4; locus communis cf. Meissner, p. 222 ann. 134; aliter Epicurei cf. Lucr. III, 359–361 et 367–369 16–17.4 De magnitudine solis: cf. e.g. Aristot. An. III 3 (428b2–4); contra: e.g. Epicur. Ep. Pyth. 91; Lucr. V,564–565; cf. Cleom. Cael. II 1 (ed. Todd, p. 44,2 sqq.); veterum disputatio de solis magnitudine cf. Pease ad Cic. nat. deor. II 92. 17 sive apud rhetores, e.g. Cic. Inv. I 8; De Or. II 66, sive apud Basilium fratrem cf. infra ad p. 17,2.

ABC ΛΑW (M^2) ROΣE S 1 ὃν: τὸν S τῶν λυπούντων (τε om) v 2 ἀλγύνων L ἐκκλινομένη ABS ἐγκλιναμένη M^2 2–3 διδάσκαλος τῶν ὁμοίων coll AB 3 τε: δὲ v post τε add γὰρ E 4 ἐκδιδομένῳ W στεναγμοῦ O 8 ἆρα B ἄρα A τις: τῆς S ἡ om RO add ἐν ante ἑκάστῳ Λ ἑκάστη O 10 τί: οὐ W 11 ἡ: ἢ E aut ἡ aut ἡ Σ διάνοια M^2 add ὁ ante ὀφθαλμὸς O 12 ἐπίγνωσι B ἐπιζητουμένου Λ εἰ: ἢ M^2 ἐφ': ἀφ' W 13 μόνου om O τοῦτον O ἀλλ' ὃ: ἀλλὰ W 13–14 ἀληθέστερον ROΣE 14 τά: τε O om v εἴπειν R 15 τὸ ΛS: τὸν cett v τὸν ante ὁρῶντα: τῶν $Λ^1$ 15–16 δοίη τις τοῦτο coll A 17 παρά: περὶ O βλέπειν ante παρὰ coll Λ 18 τοιοῦτον (sscr σ) M^2 αὐτὸν om O τῷ μεγέθει εἶναι coll AB

ὑπερβάλλειν πολλαπλασίονι τῷ μέτρῳ πᾶσαν τὴν γῆν; οὐκ ἐπειδὴ τῇ ποιᾷ κινήσει καὶ τοῖς χρονικοῖς τε καὶ τοπικοῖς διαστήμασι καὶ ταῖς ἐκλειπτικαῖς αἰτίαις τῇ διανοίᾳ διὰ τῶν φαινομένων ἠκολούθησας, θαρρῶν ἀποφαίνῃ τὸ οὕτως ἔχειν; καὶ τῆς σελήνης μείωσίν τε καὶ αὔξησιν βλέπων ἄλλα διδάσκῃ διὰ τοῦ φαινομένου περὶ τὸ στοιχεῖον σχήματος, τὸ ἀφεγγῆ τε εἶναι αὐτὴν κατὰ τὴν ἰδίαν φύσιν καὶ τὸν πρόσγειον κύκλον περιπολεῖν, λάμπειν δὲ ἀπὸ τῶν ἡλιακῶν ἀκτίνων - ὡς ἐπὶ τῶν κατόπτρων γίνεσθαι πέφυκεν, ἃ τὸν ἥλιον ἐφ' ἑαυτῶν δεχόμενα ἰδίας αὐγὰς ἀντιδίδωσι τοῦ ἡλιακοῦ φωτὸς ἐκ τοῦ λείου καὶ στίλβοντος σώματος εἰς τὸ ἔμπαλιν ἀνακλωμένου - ὅπερ τοῖς ἀνεξετάστως βλέπουσιν ἐξ αὐτῆς δοκεῖ τῆς σελήνης εἶναι τὸ φέγγος. δείκνυται δὲ τὸ μὴ οὕτως ἔχειν, ὅτι γενομένη μὲν ἀντιπρόσωπος τῷ ἡλίῳ κατὰ διάμετρον ὅλῳ τῷ πρὸς ἡμᾶς βλέποντι κύκλῳ καταφωτίζεται, ἐν ἐλάττονι δὲ τῷ καθ' ἑαυτὴν τόπῳ θᾶττον περιιοῦσα τὸν ἐν ᾧ ἐστι κύκλον, πρὶν ἅπαξ τὸν ἥλιον περιοδεῦσαι

2 cf. Bas. Caes. Hex. p. 104,22–105,13 (ed. Amand de Mendieta / Rudberg); cf. Gronau, Poseidonius, p. 14–16. 3 cf. Greg. Nyss. Hex. (GNO IV,1) p. 45,16–20; cf. Gronau, Poseidonius, p. 120 sq. 4–5 Cleom. Cael II 5 (ed. Todd, p. 72,1 sqq.); Gemin. Isag. IX; cf. Gronau, Poseidonius, p. 237–238; cf. Greg. Nyss. Trid. Spat. (GNO IX) p. 297,6–298,3; Bas. Caes. Hex. p. 92,10–93,6 (ed. Amand de Mendieta / Rudberg); at cf. Epicur. Ep. Pyth. 94–96; Lucr. V,705–750 8 speculum: cf. e.g. Vitruv. Arch. IX 3; Greg. Nyss. Virg. 11 (VIII,1) p. 295,14–17

ABC ΛΑW (M²) ROΣE S 1 ὑπερβαλεῖν v πολλαπλάσιον L πολλαπλασίονα O πολλαπλάσια v 2 ποίᾳ LWv ποιὰ B 3–4 ἠκολούθησας Jaeger: ἀκολουθήσας codd (η ex ου corr Λ²) v 4 ἀποφήνοι Λ ἀποφαίνοιτο O (τὸ om) ἀποφαίνεται M² ἀποφαίνων v add γὰρ ante τῆς ΛW 5 ἄλλα: ἀλλὰ A om RO διδάσκει ABCLΛ¹W¹Ov 6 σχημάτων v 7 λάμπει v δὲ: τε Λ 8 καπόπρων O πέφυκεν, ἃ: πεφυκέναι v 9 ἑαυτὰ CE et add οὐκ ante ἰδίας et add ἀλλὰ post ἀντιδίδωσιν LWv 9–10 φωτὸς ... καὶ om W adscr in mg W² 11 ὅπερ: ὥσπερ v ἐνεξετάστως O εἶναι ante δοκεῖ coll Λ 12 τὸ alt: τοῦτο R οὕτως om v γινομένη v 13 ἡλιακῷ O τῷ: τὸ O 14 ἐλάττωνι R δὲ om R τῷ: τὸ B κατ' αὐτὴν AC (sscr θ) v καθ' αὐτὴν W καθαυτὴν BL τόπῳ: πόθω O δρόμω ΛW 15 περιοῦσα BWOv ἔστη O περιοδεῦσαι τὸν ἥλιον coll S post ἥλιον add ἐστι Λ περιπολεῦσαι W

τὸν ἴδιον δρόμον, πλέον ἢ δωδεκάκις αὕτη τὸν καθ' ἑαυτὴν περι-
33 M ἔρχεται· διὸ συμβαίνει μὴ ἀεὶ πεπλη|ρῶσθαι φωτὸς τὸ στοιχεῖον.
οὐ γὰρ μένει ἐν τῷ πυκνῷ τῆς περιόδου διηνεκῶς ἀντιπρόσωπος
τῷ διὰ πολλοῦ περιιόντι τὸν ἴδιον πόλον ἡ δι' ὀλίγου πολλάκις τὸν
ἑαυτῆς περιθέουσα, ἀλλ' ὥσπερ ἡ κατ' εὐθεῖαν πρὸς τὸν ἥλιον ἀν-
τιπρόσωπος θέσις ἅπαν τὸ πρὸς ἡμᾶς τῆς σελήνης μέρος διὰ τῶν
ἡλιακῶν ἀκτίνων πεφωτισμένον ἐποίησεν, οὕτως, ὅταν ἐπὶ τὰ πλά-
για γένηται τοῦ ἡλίου, τοῦ ἀεὶ κατ' αὐτὸν γινομένου τῆς σελήνης
ἡμισφαιρίου διαλαμβανομένου τῇ τῶν ἀκτίνων περιβολῇ τὸ πρὸς
ἡμᾶς κατ' ἀνάγκην ἀποσκιάζεται ἀντιμεθισταμένης τῆς λαμπηδό-
νος ἀπὸ τοῦ μὴ δυναμένου πρὸς τὸν ἥλιον βλέπειν μέρους ἐπὶ τὸ
ἀεὶ κατ' ἐκεῖνον γινόμενον, ἕως ἂν ὑποβᾶσα κατ' εὐθεῖαν τὸν ἡλι-
ακὸν κύκλον κατὰ νώτου τὴν ἀκτῖνα δέξηται καὶ οὕτω τοῦ ἄνωθεν
ἡμισφαιρίου περιλαμφθέντος ἀόρατον ποιεῖ τὸ πρὸς ἡμᾶς μέρος
τῷ εἶναι καθόλου τῇ ἰδίᾳ φύσει ἀφεγγὲς καὶ ἀφώτιστον, ὅπερ δὴ
παντελὴς τοῦ στοιχείου μείωσις λέγεται. εἰ δὲ παρέλθοι πάλιν τὸν
ἥλιον κατὰ τὴν ἰδίαν τοῦ δρόμου κίνησιν καὶ ἐκ πλαγίου γένοιτο
τῇ ἀκτῖνι, τὸ πρὸ ὀλίγου ἀλαμπὲς ὑπολάμπειν ἄρχεται τῆς ἀκτῖνος
ἀπὸ τοῦ πεφωτισμένου πρὸς τὸ τέως ἀφανὲς μετιούσης. ὁρᾷς οἵων

19–19.4 cf. supra ad p. 13,16–14,6 et p. 16,15

ABC ΛAW (M) ROΣE S 1 ἢ cont M αὕτη ROΣES: αὐτὴ ABCLWM (αὐτη) v αὐτὴν Λ τὸν: τὴν O καθ' αὑτὴν CLΛWS κατ' αὐτὴν v 2 post διὸ add καὶ WM μὴ: μὲν B 3–5 ἀντιπρόσωπος … ἥλιον om v 3 ἀντιπρόσωπος om O 4 τῷ: τὸ BLM adscr in mg τῷ ἡλίῳ M^2 περιόντι MO ἡ: ἢ $AΛ^1O$ om M 5 αὐτῆς W^1 fort περιθέουσαν Σ πρὸς LROE: ὡς πρὸς cett 5–6 add ἡ ante ἀντιπρόσωπος O 6 πρόθεσις M^1 τὸ om M 7 πεφωτισμένων M^1 8 γίνηται O γίνεται v καθ' αὑτὸν C καθ' ἑαυτὸν M post γινομένου add καὶ διαλαμπομένου M add τοῦ ante τῆς R 9 διαλαμβανομένου (διαλαμπομένου O) post 8 γινομένου coll AO διαλαμπομένου M om R τῶν: τοῦ v τὸ scil μέρος 10 κατ': κατὰ M 11 ἐπὶ: ἐπεὶ O τὸ: τὸν Lv 12 ἐκεῖνο RS γενόμενον O ὑποβᾶσαν B ἀποβᾶσα $Λ^1$ 13 νότου MO ἄνω RO 14 περιλαφθέντος M περιλειφθέντος W^1 15 τῷ: τὸ ABCLv δὴ: δ' ἂν ἡ M 16 παρέλθῃ (O incert) v 17 γένηται ΛO 18 ἀκτῖνι … ἄρχεται om M post ἄρχεται add τότε ΣES 18–19 τῆς … πρὸς om RO 19 ἀφανὲς: ἀφεγγὲς ABΣS οἷον Ov

σοι γίνεται ἡ ὄψις διδάσκαλος, οὐκ ἄν σοι παρασχομένη δι' ἑαυτῆς τῶν τοιούτων τὴν θεωρίαν, εἰ μή τι ἦν τὸ διὰ τῶν ὄψεων βλέπον, ὃ τοῖς κατ' αἴσθησιν γινωσκομένοις οἱόν τισιν ὁδηγοῖς κεχρημένον διὰ τῶν φαινομένων ἐπὶ τὰ μὴ βλεπόμενα διαδύεται. τί δεῖ προστιθέναι τὰς γεωμετρικὰς ἐφόδους διὰ τῶν αἰσθητῶν χαραγμάτων πρὸς τὰ ὑπὲρ αἴσθησιν ἡμᾶς χειραγωγούσας καὶ μυρία ἐπὶ τούτοις ἄλλα, δι' ὧν συνίσταται τὸ διὰ τῶν ἐν ἡμῖν σωματικῶς ἐνεργουμένων τῆς ἐγκεκρυμμένης τῇ φύσει ἡμῶν νοερᾶς οὐσίας τὴν κατάληψιν γίνεσθαι;

Τί δέ, εἶπον, εἰ ὥσπερ κοινὸν μέν ἐστιν ἐπὶ τῆς αἰσθητῆς τῶν στοιχείων φύσεως τὸ ὑλῶδες, διαφορὰ δὲ κατὰ τὸ ἰδιάζον ἐν ἑκάστῳ εἴδει τῆς ὕλης πολλή, ἥ τε γὰρ κίνησις αὐτοῖς ἐκ τοῦ ἐναντίου ἐστὶν τοῦ μὲν ἀνωφεροῦς ὄντος, τοῦ δὲ ἐπὶ τὸ κάτω βρίθοντος τό τε εἶδος οὐ τὸ αὐτὸ καὶ ἡ ποιότης διάφορος· εἴ τινι τούτων κατὰ τὸν λόγον συνουσιωμένην τις εἶναι λέγοι δύναμιν τὴν τὰς νοητικὰς ταύτας φαντασίας τε καὶ κινήσεις ἐκ φυσικῆς ἰδιότητός τε καὶ δυνάμεως ἐνεργοῦσαν· οἷα δὴ πολλὰ βλέπομεν ὑπὸ τῶν μηχανοποιῶν

5–6 γεωμετρία ut ὁδηγός ad intelligibilia: cf. Greg. Nyss. Infant. (GNO III,2) p. 86,16–19; e.g. Plat. Rep. 527b1; Alcin. (?) Did. p. 161,19–24 H. (ed. Whittaker); Clem. Strom. VI 11, 90,3–4 (ed. Stählin / Früchtel, p. 477,13–19) 10–17 fortasse illam ἀκατονομαστὸν ποιότητα Epicuri respicit, cf. e.g. Epicur. Frg. 314–315 (ed. Usener); cf. Cic. Nat. deor. II 81. 15 cf. συγγεγενημένῳ Diog. Laert. X 64 de Epicuro 17–20.10 Democriti θεωρία: cf. Aristot. An. I 3 (406b15–22)

ABC ΛΑW M ROΣΕ S 1 σοι pr om M ἑαυτῶν R 2 τὴν om O ἦν: οὖν v βλέπων Λ¹W¹MOv 3 διά: ἐπὶ A 4 βλεπόμενα: φαινόμενα MRO δύεται E προστεθῆναι R προστιθῆναι O 5 μεθόδους RO τά: τὰς C 6 χειραγωγούσης E ἀλλὰ A 7 δι': δ' W τό: τῶν R om v ἐνεργουμένης B 8 τῆς om O ἐγκεκραμένης R ἐγγεγραμμένης O ἡμῖν O 10 post εἶπον add ἐγὼ S add τι ante κοινὸν RO αἰσθήσεως O τῶν: τῷ B 10–11 τῶν στοιχείων om A post φύσεως coll S 11 ἰδίαζον v ἐν om BO 12 ἥ: εἰ B 13 ἄνω φέροντος MRO ἐπὶ om O τὸ pr: τὰ ΑΒΛ τοῦ Cv om O 14 τε: δὲ Ev οὐ om O εἴ τινι ACΛS: ἔν (ἐν BL) τινι BLΣEv εἴ τινα W ἐστι RO εἴ τινι τούτων: ἐστιν τούτων· εἰ τινὰ M τούτου O 15 add αὐτὸν ante λόγον MRO εἶναι: εἰ M λέγει ΛO 16 τε pr om B 17 βλέπωμεν W

36 M ἐνεργούμενα, ἐφ’ ὧν ἡ ὕλη τεχνικῶς |διατεθεῖσα μιμεῖται τὴν φύσιν, οὐκ ἐν τῷ σχήματι μόνῳ δεικνῦσα τὸ ὅμοιον, ἀλλὰ καὶ ἐν κινήσει γίνεται καὶ φθόγγον τινὰ ὑποκρίνεται ἠχοῦντος ἐν τῷ φωνητικῷ μέρει τοῦ μηχανήματος, καὶ οὐ δή που νοητήν τινα δύναμιν τοῖς γινομένοις ἐνθεωροῦμεν τὴν τὸ καθ’ ἕκαστον ἐργαζομένην τὸ σχῆμα, τὸ εἶδος, τὸν ἦχον, τὴν κίνησιν· εἰ ταῦτα λέγοιμεν καὶ περὶ τὸ μηχανικὸν τοῦτο τῆς φύσεως ἡμῶν ὄργανον μηδεμιᾶς κατὰ τὸ ἰδιάζον νοητῆς οὐσίας ἐγκεκραμένης γίνεσθαι, ἀλλά τινος τῇ φύσει τῶν ἐν ἡμῖν στοχείων κινητικῆς δυνάμεως ἐγκειμένης καὶ τὴν τοιαύτην ἐνέργειαν ἀποτέλεσμα εἶναι, ἣ οὐδὲν ἄλλο ἢ κίνησίς τίς ἐστιν ὁρμητικὴ περὶ τὴν γνῶσιν τῶν σπουδαζομένων ἐνεργουμένη· τί ἂν μᾶλλον διὰ τούτων ἢ τὸ εἶναι ἐφ’ ἑαυτῆς τὴν νοητὴν ἐκείνην καὶ ἀσώματον τῆς ψυχῆς οὐσίαν ἀποδεικνύοιτο ἢ τὸ μηδὲ ὅλως εἶναι;

Ἡ δέ, Συμμαχεῖ, φησί, τῷ λόγῳ καὶ τὸ ὑπόδειγμα καὶ ἡ κατασκευὴ πᾶσα τῆς ἀνθυπενεχθείσης ἡμῖν ἀντιρρήσεως οὐ μικρὰ συντελέσει πρὸς τὴν τῶν νοηθέντων ἡμῖν βεβαιότητα.

Πῶς τοῦτο λέγεις;

Ὅτι τοι, φησί, τὸ οὕτως εἰδέναι μεταχειρίζεσθαί τε καὶ διατιθέναι τὴν ἄψυχον ὕλην, ὡς τὴν ἐναποτεθεῖσαν τοῖς μηχανήμασι τέχνην μικροῦ δεῖν ἀντὶ τῆς ψυχῆς τῇ ὕλῃ γίνεσθαι, δι’ ὧν κίνησίν τε καὶ ἦχον καὶ σχήματα καὶ τὰ τοιαῦτα καθυποκρίνεται, ἀπόδει-

17 imit. Plat. e.g. Phaed. 72b6

ABC ΛΛW M ROΣE S 2 μόνον Λ om R δεικνύουσα O add γὰρ ante καὶ AB 4 μέρη O οὐ δή που: οὐδέ που v οὐδέπω WM τινα: τὴν M 5 τοῖς om v τὸ pr om ΛEv καθέστον M 5–6 τὸ εἶδος ante τὸ σχῆμα coll ROΣE 6 λέγομεν Lv 7 τούτου O 8 ἐγκεκρυμμένης M (υ in α corr fort m pr) 9 δυνάμεως: αἰσθήσεως O 10 ἀποτέλεσμα εἶναι: ἀποτελούσης RO 10–12 εἶναι … ἢ τὸ om v 10 ἣ om Λ^{1}RO οὐδὲν ἄλλο ἢ om M^{1} post τίς add τ’ M 11 ἂν: οὖν R 12 ἢ: ἡ A εἰ L om CΛ^{1}WR 13 ἢ: εἰ O μηδ’ ὅλως R μὴδ὘λως M μηδόλως Ov 14 Ἡ: Ὁ M (sed corr) συμμαχία R συμμαχίαν O ἡ om M^{1} 15 πάσης MRO μικρὰν O μικρὸν R 16 συνετελέσει L συντελέση W^{1} 17 post Πῶς add οὖν LΣES post λέγεις add ἔφην C 18 τοι om CRO τὸ: τοῦ (ex τὸ) M (m pr ut vid) τε: τι Lv 19 ἐναποτιθεῖσαν v 20 τῆς om RO 21 σχῆμα RO

ξις ἂν εἴη τοῦ εἶναί τι τοιοῦτον ἐν τῷ ἀνθρώπῳ, ὃ ταῦτα πέφυκε διὰ τῆς θεωρητικῆς καὶ ἐφευρετικῆς δυνάμεως κατανοεῖν τε ἐν ἑαυτῷ καὶ προκατασκευάζειν τῇ διανοίᾳ τὰ μηχανήματα, εἶθ’ οὕτως εἰς ἐνέργειαν διὰ τῆς τέχνης ἄγειν καὶ διὰ τῆς ὕλης δεικνύειν τὸ νόημα· πρῶτον γὰρ ὅτι πνεύματός ἐστι χρεία πρὸς τὴν ἐκφώνησιν κατενόησεν, εἶθ’ ὅπως ἂν ἐπινοηθείη πνεῦμα τῷ μηχανήματι τῷ λογισμῷ προεξήτασε τὴν τῶν στοιχείων φύσιν ἐπισκεψάμενος, ὅτι οὐδὲν κενὸν ἐν τοῖς οὖσίν ἐστιν, ἀλλὰ τῇ πρὸς τὸ βαρύτερον παραθέσει κενὸν τὸ κοῦφον νομίζεται, ἐπεὶ καὶ αὐτὸς ἐφ’ ἑαυτοῦ κατ’ ἰδίαν ὑπόστασιν ὁ ἀὴρ ναστός τε καὶ πλήρης ἐστίν· διάκενον γὰρ τὸ ἀγγεῖον ἐκ καταχρήσεως λέγεται, ὅταν τοῦ ὑγροῦ κενὸν ᾖ, οὐδὲν δὲ ἧττον μεστὸν ἀέρος ὁ πεπαιδευμένος καὶ τοῦτο λέγει· σημεῖον δὲ τὸ ἐπαχθέντα τῇ λίμνῃ τὸν ἀμφορέα μὴ εὐθὺς πληροῦσθαι τοῦ
37 M ὕδατος, ἀλλ’ ἐπιπολάζειν τὰ πρῶτα τοῦ ἐναπειλημμένου ἀέρος |ἐπὶ τὸ ἄνω τὸ κοῖλον ἀνέχοντος, ἕως ἂν πιεσθεὶς ὁ ἀμφορεὺς τῇ χειρὶ τοῦ ἀρυομένου ἐν τῷ βάθει γένηται καὶ τότε δέξηται τῷ στομίῳ τὸ ὕδωρ· οὗ γινομένου δείκνυται τὸ μὴ κενὸν αὐτὸν εἶναι καὶ πρὸ τοῦ ὕδατος· μάχη γάρ τις περὶ τὸ στόμιον τῶν δύο στοιχείων ὁρᾶται τοῦ μὲν ὕδατος ὑπὸ βάρους ἐπὶ τὸ κοῖλον βιαζομένου τε καὶ εἰσρέοντος, τοῦ δὲ ἀέρος τοῦ ἐναπειλημμένου τῷ κοίλῳ διὰ τοῦ αὐτοῦ

11–18 exemplum vasis: cf. Cleom. Cael I 1 (ed. Todd, p. 2,35–38; p. 3,74–78); Philop. In de An. II 11 (CAG 15, ed. Hayduck, p. 430,19–24) 20–22.3 pressura: cf. Sen. Nat. quaest. II 6,5

ABC ΛΑW M ROΣE S 1 τι om O τοιοῦτω O ὃ ταῦτα ABCΛE: ᾧ ταῦτα LWΣ (ut vid) Sv ὃ M καὶ γὰρ RO 2 add τε ante καὶ ROΣES 2–3 αὐτῷ WM 3 κατασκευάζειν B 4 δεικνύει O 6 κατανόησιν O εἰθ’ οὕπως M (sed υ eras) εἶτα πως RO 8 τῇ: δὴ C om v 10 ὁ ἀὴρ om (sed adscr in mg) L ante καὶ coll v ναστός: μεστός L (in mg) W^2MROΣE 11 ἀγγεῖον: αἴτιον L post ὅταν add οὖν L δὲ Λ γὰρ v 12 δὲ om CLW^1Mv eras Λ post ἧττον add δὲ O ὁ πεπαιδευμένος ante μεστὸν coll R ὁ om v τούτου O 13 τὸ: τὸν Ov τῷ M ἐμπαγέντα O τὸν om v 15 ἔχοντος AR 16–17 ἐν … γινομένου om RO 16 γένη B γίνεται v τότε: τοῦτο v στόματι W^2v 17 δεικνύει RO αὐτὸν: αὐτὸ (sed ν sscr) M om O 18 μάχη: μηχανὴ Σ τῷ στόματι v ὁρᾶται ante τῶν coll S 19 add τοῦ ante βάρους ΛWMO 19–20 ῥέοντος O 20 αὐτοῦ τοῦ coll E

στομίου ἐπὶ τὸ ἔμπαλιν συνθλιβομένου περὶ τὸ ὕδωρ καὶ ἀναρρέοντος, ὡς ἀνακόπτεσθαι διὰ τούτου καὶ ἀνακογχυλιάζειν τὸ ὕδωρ περιαφρίζον τῇ βίᾳ τοῦ πνεύματος. ταῦτά τε οὖν κατενόησε καὶ ὅπως ἂν ἐντεθείη πνεῦμα τῷ μηχανήματι διὰ τῆς τῶν στοιχείων φύσεως ἐπενόησε· κοῖλον γάρ τι ἐκ στεγανῆς ὕλης κατασκευάσας καὶ πανταχόθεν τὸν ἐν αὐτῷ ἀέρα περισχὼν ἀδιάπνευστον ἐπάγει τὸ ὕδωρ διὰ στομίου τῷ κοίλῳ κατὰ τὸ μέτρον τῆς χρείας τὸ ποσὸν συμμετρήσας τοῦ ὕδατος, εἶθ' οὕτως ἐπὶ τὸν παρακείμενον αὐλὸν δίδωσι κατὰ τὸ ἀντικείμενον τῷ ἀέρι τὴν δίοδον, ἐκθλιβόμενος δὲ τῷ ὕδατι βιαιότερον ὁ ἀὴρ πνεῦμα γίνεται, ὅπερ ἐμπῖπτον τῇ κατασκευῇ τοῦ αὐλοῦ τὸν ἦχον ποιεῖ. ἆρ' οὖν οὐ φανερῶς δείκνυται διὰ τῶν φαινομένων, ὅτι ἐστί τις ἐν τῷ ἀνθρώπῳ νοῦς ἄλλο τι παρὰ τὸ φαινόμενον, ὁ τῷ ἀειδεῖ τε καὶ νοερῷ τῆς ἰδίας φύσεως ταῦτα ἐν ἑαυτῷ προκατασκευάζων ταῖς ἐπινοίαις, εἶθ' οὕτως διὰ τῆς ὑλικῆς ὑπηρεσίας εἰς τὸ ἐμφανὲς ἄγων τὴν ἔνδον συστᾶσαν διάνοιαν; εἰ γὰρ ἦν κατὰ τὸν ἀντιτεθέντα λόγον ἡμῖν τῇ φύσει τῶν

5–11 cf. Hero Pneum. I p. 88–90 (ed. Schmidt) 9 cf. supra ad p. 21,20–22,3 11–16 cf. e.g. Aristot. De part. animal. I 1 (640a30–32); Philo Prov. 42; Greg Nyss. Beat. 6 (GNO VII, 2) p. 141,2–10; conclusio persaepe apud veteres usitata e.g. Cic. Nat. deor. II 87–90 et Pease ad loc et Lilla, p. 113–130. 13–16 Philo Opif. mundi 19–20; cf. Greg. Nyss. Perf. (GNO VIII,1) p. 182,13–17 16–23.10 χαλκὸς ἀνδρείκελος: e.g. Aristot. Metaph. I 3 (984a22–25); De part. animal. I 1 (640a29–32); Lact. Ira X 39, cf. Pease ad Cic Nat. deor. II 87, p. 764; cf. Cic. Nat. deor. II 93–94.

ABC ΛAW M ROΣE S 1 στόματος v στοιχείου M συνθλιμμένου O 2 post ὡς add καὶ LMROv τοῦτο MRΣE add ἢ ante καὶ MROΣES ἀνακογχυλίζειν W²RΣ ἀνακογχυλιαρίζειν M ἀνακοχλάζειν v ἀνακαγχάζειν Λ²E ἀνακωχίζειν O 3 τε om Mv κατεΒόησεν M in litt B scr N nescio quae manus cf. 20,14 et 24,3 4 μηχανομένῳ O 5 κατενόησε R ἐκ: ἐν O 7 add τοῦ ante στομίου M στόματος v τῶ κοίλω corr e τοῦ κοίλου W om M 9 διαδῶσι M τὸ: τὸν A 10 ἐκπίπτον v 11 ποιεῖ: ἀποτελεῖ M οὖν om ABCΛAW 12 ἀλλ' ὅτι LO ἀλλότι M 13 ὁ: ὃς AWM ὡς BC 14 ἐν αὐτῷ M ἐν ἑαυτῇ O 15 ἄγον B ἄγει RO ἄγειν M (in ras sive in macula) συστεῖσαν R 16 ἀντιθέντα O

στοιχείων τὰς τοιαύτας θαυματοποιΐας λογίζεσθαι, αὐτομάτως ἂν ἡμῖν συνέστη πάντως τὰ μηχανήματα καὶ οὔτε ὁ χαλκὸς τὴν τέχνην ἀνέμενεν εἰς τὸ γενέσθαι ἀνδρείκελος, ἀλλ' εὐθὺς ἂν τοιοῦτος ἐκ φύσεως ἦν, οὐδ' ἂν τοῦ αὐλοῦ πρὸς τὸν ἦχον ὁ ἀὴρ ἐδεήθη, ἀλλὰ πάντοτε ἂν ἀφ' ἑαυτοῦ ἤχει κατὰ τὸ συμβὰν ῥέων τε καὶ κινούμενος, τοῦ τε ὕδατος οὐκ ἂν ἦν βεβιασμένη διὰ σωλῆνος ἡ πρὸς τὸ ἄνω φορὰ τῆς τέχνης ἐκ πιεσμάτων εἰς τὸ παρὰ φύσιν ἀναθλιβούσης τὴν κίνησιν, ἀλλ' αὐτομάτως ἂν ᾔει τὸ ὕδωρ πάντως πρὸς τὸ μηχάνημα τῇ ἰδίᾳ φύσει ἐπὶ τὸ ἄνω ὀχετηγούμενον. εἰ δὲ τούτων κατὰ τὸ αὐτόματόν ἐστιν οὐδὲν ὑπὸ τῆς τῶν στοιχείων φύσεως ἐνεργούμενον, ἀλλὰ τέχνῃ πρὸς τὸ
40 M δοκοῦν ἕκαστον ἄγεται, ἡ δὲ|τέχνη διάνοιά τίς ἐστιν ἀσφαλὴς πρός τινα σκοπὸν ἐνεργουμένη διὰ τῆς ὕλης, ἡ δὲ διάνοια νοῦ τίς ἐστι ποιὰ κίνησίς τε καὶ ἐνέργεια, ἆρα καὶ διὰ τῶν ἀντιτεθέντων ἡμῖν τὸ ἄλλο τι παρὰ τὸ φαινόμενον εἶναι τὸν νοῦν ἡ ἀκολουθία τῶν εἰρημένων ἀπέδειξεν.

Ἐγὼ δὲ τοῦτο μὲν οὕτως ἔχειν φημὶ καὶ αὐτὸς τὸ μὴ ταὐτὸν εἶναι τῷ φαινομένῳ τὸ μὴ φαινόμενον, οὐ μὴν τὸ ζητούμενον ἐν τῷ λόγῳ βλέπω· οὔπω γάρ μοι δῆλόν ἐστιν, ὅ τί ποτε χρὴ νομίζειν ἐκεῖνο εἶναι τὸ μὴ φαινόμενον, ἀλλ' ὅτι μὲν ὑλικόν τι οὐκ ἔστιν, ἐδιδάχθην

1–9 respicit ad Epicurum cf. supra ad p. 8,15-17, argumentum ex ἀδυνάτῳ cf. e.g. Eurip. Med. 410; Ovid. Trist. I 8,1

ABC ΛAW M ROΣE S 1 καταλογίζεσθαι ROΣES 3 ἀνδροείκελος LWMOE ἀνδροείκελον v εὐθὺ v 4 ἐκ φύσεως τοιοῦτος coll ΛE οὔτ' R 5 ἂν post ἑαυτοῦ coll Σ om E ἀφ': ἐφ' RΣ (ut vid) v 6 ῥέων τε καὶ κινούμενος ante 5 κατὰ coll E ῥέον BRΣ (ut vid) ἦν om WO 7 τὸ pr: τὰ R τὴν v ἀναφορὰν v πιασμάτων O τὸ alt: τὰ O 8 ἐκθλιβούσης S ἂν ᾔει BWRΣS: ἀνῄει M ἀνίει LΛE ἀνίῃ v ἂν εἴη C ἀνείη A 8–9 ἂν ᾔει ... πάντως om O 9 πάντως τὸ ὕδωρ coll Λ ἐπὶ τὸ ἄνω post 10 ὀχετηγούμενον coll E 10 τούτων: οὐ τῶν RO Φυτῶν M τοῦτο, οὐ τῶν E οὐδὲν: τὸ MRO 12–13 τίς ... νοῦ om v 12 ἀσφαλεὶς W^1 ἀσφαλὲς O 14 ποία v οἰκεία ABCΛ ἀντιθέντων AW ἀντιθέτων Λv ἀντιθέσεων τῶν M 15 τὸ alt om O 18–20 οὐ ... φαινόμενον om Λ adscr in mg Λ^2 18 ἐν om C post λόγῳ add τούτῳ v 19 βλέπων W 20 τι om Λ 20–24.1 ἐδιδάχθη (sed add ν) ... ἔγνω B

τῷ λόγῳ, οὐδέπω δὲ ἔγνων, ὅ τι περὶ αὐτοῦ προσήκει λέγειν. ἐγὼ δὲ τοῦτο μάλιστα ἐδεόμην μαθεῖν, οὐ τὸ τί οὐκ ἔστιν, ἀλλ' ὅπερ ἐστίν.

Ἡ δέ, Πολλά, φησί, καὶ περὶ πολλῶν οὕτω μανθάνομεν ἐν τῷ μὴ τόδε τι λέγειν εἶναι αὐτὸ τὸ εἶναι τοῦ ζητουμένου, ὅ τί ποτέ ἐστι διερμηνεύοντες· ἀπόνηρον γὰρ εἰπόντες τὸν ἀγαθὸν παρεστήσαμεν καὶ ἄνανδρον ὀνομάσαντες τὸν δειλὸν ἐγνωρίσαμεν καὶ πολλὰ τούτοις ἔστιν εἰπεῖν ὁμοιότροπα, δι' ὧν ἢ τὸ χρηστότερον ἀναλαμβάνομεν νόημα διὰ τῆς τῶν πονηρῶν ἀποφάσεως ἢ τὸ ἔμπαλιν ἐπὶ τὸ χεῖρον ταῖς ὑπονοίαις τρεπόμεθα τῇ τῶν καλῶν ἀφαιρέσει τὸ πονηρὸν ἐνδειξάμενοι. οὕτω τοίνυν καὶ ἐπὶ τοῦ παρόντος τις λόγου κατανοήσας οὐκ ἂν τῆς δεούσης περὶ τὸ ζητούμενον ἐννοίας ἀποσφαλείη. ζητεῖται δὲ τί χρὴ τὸν νοῦν οἴεσθαι κατ' αὐτὴν τὴν οὐσίαν. ὁ τοίνυν τὸ μὲν εἶναι τοῦτο, περὶ οὗ ὁ λόγος ἐστί, διὰ τῆς παρ' αὐτοῦ δεικνυμένης ἡμῖν ἐνεργείας μὴ ἀμφιβάλλων, τὸ δὲ ὅ τί ἐστι γνῶναι βουλόμενος ἱκανῶς ἂν εὕροι τῷ μὴ τοῦτο μαθεῖν εἶναι αὐτό, ὃ καταλαμβάνει ἡ αἴσθησις, μὴ χρῶμα, μὴ σχῆμα, μὴ ἀντιτυπίαν, μὴ

3–10 definitio κατὰ ἀφαίρεσιν τοῦ ἐναντίου: cf. e.g. Isid. Etym. II 29,9; Victorin. Def. 23,9 sqq.; cf. Platonicos et patres per viam negationis naturam intelligibilem praecipue dei demonstrantes: e.g. Plat. Rep. 534b9–c1; Alcin. (?) Did. p. 165,17–18 H. (ed. Whittaker); Plot. V 3,17,38; VI 9,9,50; V 5,13,11; Greg. Nyss. Eun. 2 (GNO I) p. 266,20–21, cf. Lilla, p. 75–86 16–25.3 enumeratio: Greg. Nyss. Mort. (GNO IX) p. 41,20–23; Cant. 5 (GNO VI) p. 157,16–19; Beat. 3 (GNO VII, 2) p. 104,16–18; cf. Plat. Phaedr. 247c6–7

ABC ΛAW M ROΣE S 1 ἔγνω M[1] προσήκειν R ἐγὼ: λέγω C 2 τούτου O οὐ τὸ τί: οὐτότι B οὐχ ὅτι ACMEv οὐχ ὃ τί W ἀλλ' ὅπερ: ἀλλὰ τί ABCΛWM 3 H ex O corr M 4 τόδε τι: τόδ' ἐστι O τι om B εἶναι (pr) λέγειν coll Λ 5 δι' ἑρμηνεύοντος M τὸν: τὸ CW[1]M[1] 5–6 παρεστήκαμεν v 7 τοιούτοις M εἰπεῖν om ABCΛW ἢ: ἡμεῖς O 7–8 ἀναλάβομεν C 8 ἀπεμφάσεως M ἀντιφάσεως O 9 ἐπινοίαις E 10 ἐνδεξάμενοι W λόγος O 11 κατανόησαν O οὐκ ἂν: οὐκοῦν RO τοῦ ζητουμένου O 11–12 ἀποσφαλῇ RO ἀποσφάλλῃι C 12 τί χρὴ ante οἴεσθαι coll W καθ' αὐτὴν C 13 τοῦτου O 14 δὲ: δ' ΣE 15 ἱκανὸν M εὕροι τῷ: εὕροιτο τὸ O εὕροιτο v τῷ (τῷ ex τὸ BW) BWRES: τὸ ACLΛMΣ 16 καταλαμβάνοι B

βάρος, μὴ πηλικότητα, μὴ τὴν εἰς τρία διάστασιν, μὴ τὴν ἐπὶ τόπου θέσιν, μηδέ τι τῶν περὶ τὴν ὕλην καταλαμβανομένων ὅλως μηδέν, εἰ δή τι ἄλλο παρὰ ταῦτά ἐστιν.

Ἐγὼ δὲ μεταξὺ διεξιούσης, Οὐκ οἶδα, ἔφην, πῶς ἔστι πάντων τούτων ἀφαιρουμένων τοῦ λόγου μὴ συνεξαλειφθῆναι τούτοις καὶ τὸ ζητούμενον. τίνι γὰρ προσφυὴς δίχα τούτων ἡ καταληπτικὴ περιεργία, κατά γε τὴν ἐμὴν ὑπόληψιν οὔπω ὁρᾶται· πανταχῇ γὰρ ἐν τῇ τῶν ὄντων ἀναζητήσει διὰ τῆς ἐξεταστικῆς διανοίας 41 M ἀφάσσοντες τὸ ζητούμενον ὥσπερ τινὲς τυφλοὶ διὰ τοίχων ἐπὶ|τὴν θύραν χειραγωγούμενοι ἑνὸς τῶν εἰρημένων πάντως θιγγάνομεν ἢ χρῶμα εὑρίσκοντες ἢ σχῆμα ἢ πηλικότητα ἤ τι τῶν παρὰ σοῦ νῦν ἀπηριθμημένων ἕτερον· ὅταν δὲ τούτων μηδὲν εἶναι λέγηται, εἰς τὸ μηδὲ ὅλως τι εἶναι οἴεσθαι ὑπὸ μικροψυχίας περιαγόμεθα.

Ἡ δὲ σχετλιάσασα μεταξὺ τοῦ λόγου, Φεῦ τῆς ἀτοπίας, φησίν, εἰς οἷον καταστρέφει πέρας ἡ μικροφυὴς αὕτη καὶ χαμαίζηλος περὶ τῶν ὄντων κρίσις· εἰ γὰρ ἐξῄρηται τοῦ ὄντος ἅπαν, ὃ μὴ τῇ αἰσθήσει γνωρίζεται, οὐδ᾽ ἂν αὐτὴν τὴν τοῦ παντὸς ἐπιστατοῦσαν καὶ περιδεδραγμένην τῶν ὄντων δύναμιν ὁμολογοίη πάντως ὁ

9–10 cf. Plat. Phaed. 99b4–5

ABC ΛAW M ROΣE S 1 add τὰ ante τρία O 2 θέσιν CLΛROv: διάθεσιν cett μήδὲν A τι om ACW τῶν: τοῖς $Λ^1$ ὅλως: ὅμως A 3 εἴδη L εἰ δ᾽ ή B ἴδῃ v εἶδος O παρὰ: περὶ O παρ᾽ αὐτά ABCM (αὐτῷ) post ἐστι add πάντων τούτων ἀφαιρουμένων C 5 ἀφαιρουμένῳ A ἀφαιρουμένου ΣE 6 post γὰρ add ἂν LΣE προσφυῆς AB προσφυῇ LΛMΣESv προσφυὴς scil ἐστιν 7 περιεργεία ABLWO γε: τε $Λ^1$E ὁρᾷ O ὁρῶ R πανταχοῦ O 8 διὰ: δὲ O 9 ἀφάσσοντες: ἀφάσσαντες $Λ^2$Σ ἀφήσοντες O ἀφῶντες ΛE (cf. Apollonium Sophista vel Eusthatium Thessal.) ὅσον τε v ψηλαφῶντες vel similia in mg tamquam glossam adscr $ABCM^2$ post διὰ add τῶν M τείχων M^1O 9–10 ἐπὶ τὴν θύραν om WM 10 θύρα L post ἑνός add τινος S τῶν iteravit M πάντως om MR (O non liquet) ἢ om ABCΛS 11 παρὰ: περὶ O νῦν om R 12 ἀπηριθμημένον AB ἠριθμημένων RO δὲ: οὖν ΣES μηδὲν τούτων coll Λ λέγηται εἶναι coll AB add ἂν ante εἰς v 13 μήδ᾽ὅλως M μήδ᾽ ὅλως B μήδόλως O μηδόλως Sv οἴεσθαι om S περιαγώμεθα O 14 H ex O corr M cf. 22,3 15 οἷον: ὃν AB 16 ὄντως O ὃ μή: ἃ μόνη M

τοῦτο λέγων, ἀλλὰ τὸ ἀσώματόν τε καὶ ἀειδὲς περὶ τῆς θείας φύσεως διδαχθεὶς τὸ μὴ εἶναι αὐτὴν ὅλως ἐκ τῆς τοιαύτης πάντως ἀκολουθίας λογίσεται· εἰ δὲ ἐκεῖ τὸ ταῦτα μὴ εἶναι παραγραφὴ τοῦ εἶναι οὐ γίνεται, πῶς ὁ ἀνθρώπινος νοῦς τοῦ ὄντος ἐκθλίβεται τῇ ἀφαιρέσει τῶν σωματικῶν ἰδιωμάτων συνδαπανώμενος;

Οὐκοῦν, εἶπον, ἐξ ἀτόπου μεταλαμβάνομεν ἕτερον ἄτοπον διὰ τῆς ἀκολουθίας ταύτης· περιῆκται γὰρ ὁ λόγος ἡμῖν εἰς τὸ ταὐτὸν οἴεσθαι τῇ θείᾳ φύσει καὶ τὸν νοῦν τὸν ἡμέτερον, εἴπερ τῇ ὑπεξαιρέσει τῶν κατ᾽ αἴσθησιν εὑρισκομένων νοεῖται ἑκάτερον.

Μὴ ταὐτὸν εἴπῃς, φησὶν ἡ διδάσκαλος, ἀσεβὴς γὰρ καὶ οὗτος ὁ λόγος, ἀλλ᾽ ὡς ἐδιδάχθης παρὰ τῆς θείας φωνῆς, ὅμοιον εἰπὲ τοῦτο ἐκείνῳ· τὸ γὰρ κατ᾽ εἰκόνα γενόμενον διὰ πάντων ἔχει πάντως τὴν πρὸς τὸ ἀρχέτυπον ὁμοιότητα, νοερὰν τοῦ νοεροῦ καὶ τοῦ ἀσωμάτου ἀσώματον, ὄγκου τε παντὸς ἀπηλλαγμένον ὥσπερ ἐκεῖνο καὶ πᾶσαν ἐκφεῦγον διαστηματικὴν καταμέτρησιν ὁμοίως ἐκείνῳ, ἄλλο δέ τι παρ᾽ ἐκεῖνο κατὰ τὴν τῆς φύσεως ἰδιότητα· οὐκέτι γὰρ ἂν εἴη εἰκών, εἰ διὰ πάντων εἴη ταὐτὸν ἐκείνῳ, ἀλλ᾽ ἐν οἷς ἐν τῇ ἀκτίστῳ φύσει καθορᾶται ἐκεῖνο, ἐν τοῖς αὐτοῖς ἡ κτιστὴ

11–13 Gen. 1,26–27; cf. Plat. Phaed. 80b1–5; de similitudine naturae divinae et animae humanae apud Platonicos et Patres cf. Lilla, p. 61–67   17–27.1 Greg. Nyss. Op. hom. 16 (PG 44) 184C

ABC ΛAW (M) RΟΣΕ S   1 ἀλλὰ: ἀλλ᾽ ὁ ΛWM   περὶ: παρὰ M[1] in mg γρ περὶ θείας φύσεως M[2] i.e. τῆς om   3 λογίζεται v λογίσαιτο RO   παραγραφὴ term techn iurid 'praescriptio': περιγραφὴ LΛWΣSv   4 πῶς incert Σ   ἀνθρώπειος R ἄνθρωπος M[1]   ὄντως O   4–5 τῇ ἀφαιρέσει τῶν σωματικῶν: μετὰ τῶν RO   6 ἀτόπου: ἀτόπων v   καταλαμβάνομεν S παραλαμβάνομεν R sed corr   add εἰς ante ἕτερον M[2]   διὰ: ἐκ W   7 περιῆκται: περιήρηται E περίκειται v   7–8 εἰς ταὐτὸ (τὸ αὐτὸ M) νοεῖσθαι MRO   8–9 ὑφεξαιρέσει BCLΛ[1]MO   10 Μὴ: ἀλλ᾽ ἢ A   καὶ om ABS   11 παρὰ: περὶ O   φωνῆς: φύσεως O γραφῆς v   11–31.18 ὅμοιον ... ἐνθεωρου]μένας om M scil deficit exemplar, sed suppl M[2] in mg   12 add καὶ ante τοῦτο R   γινόμενον L   ἔχῃ O   13 τὴν om C   14 πάντως Σ   15 διασημαντικὴν O διὰ σημαντικὴν v   16 τι om AB   ἐκείνω B   17 ἂν om B   δι᾽ ἀπάντων v δὲ ἁπάντων L   εἴη om M[2]   ἐκείνῳ: ἐκεῖνο M[2] post εἰ coll v   18 τῇ om C

φύσις δείκνυσι τοῦτο. καὶ ὥσπερ πολλάκις ἐν μικρῷ ψήγματι ὑελίνῳ, ὅταν τύχῃ πρὸς ἀκτῖνα κείμενον, ὅλος ἐνορᾶται τοῦ ἡλίου ὁ κύκλος οὐ κατὰ τὸ ἴδιον μέγεθος αὐτῷ ἐμφαινόμενος, ἀλλ' ὡς χωρεῖ ἡ βραχύτης τοῦ ψήγματος τοῦ κύκλου τὴν ἔμφασιν, οὕτως ἐν τῇ βραχύτητι τῆς ἡμετέρας φύσεως τῶν ἀφράστων ἐκείνων τῆς θεότητος ἰδιωμάτων αἱ εἰκόνες ἐκλάμπουσιν, ὥστε
44 M διὰ τούτων τὸν λόγον χειραγωγούμενον μήτε ἀπο|πίπτειν τῆς κατὰ τὴν οὐσίαν τοῦ νοῦ καταλήψεως ἀποκαθαιρομένης ἐν τῇ ἐξετάσει τοῦ σκέμματος τῆς σωματικῆς ἰδιότητος, μηδ' αὖ πάλιν εἰς ἴσον ἄγειν τῇ ἀορίστῳ τε καὶ ἀκηράτῳ φύσει τὴν μικρὰν καὶ ἐπίκηρον, ἀλλὰ νοητὴν μὲν οἴεσθαι τὴν οὐσίαν, ἐπειδὴ καὶ νοητῆς οὐσίας ἐστὶν εἰκών, μὴ μέντοι τὴν αὐτὴν τῷ ἀρχετύπῳ τὴν εἰκόνα λέγειν. ὥσπερ οὖν διὰ τῆς ἀπορρήτου σοφίας τοῦ θεοῦ τῆς τῷ παντὶ ἐμφαινομένης τὴν θείαν φύσιν τε καὶ δύναμιν ἐν πᾶσι τοῖς οὖσιν εἶναι οὐκ ἀμφιβάλλομεν, ὡς ἂν ἐν τῷ εἶναι τὰ πάντα μένοι, καίτοι γε εἰ τὸν τῆς φύσεως ἀπαιτοίης λόγον, παμπληθὲς ἀπέχει οὐσία θεοῦ πρὸς τὰ καθ' ἕκαστον ἐν τῇ κτίσει δεικνύμενά τε καὶ νοούμενα, ἀλλ' ὅμως ἐν τούτοις εἶναι τὸ διεστὼς κατὰ τὴν φύσιν ὁμολογεῖται· οὕτως οὐδὲν ἄπιστον καὶ τὴν τῆς ψυχῆς οὐσίαν ἄλλο τι καθ' ἑαυτὴν οὖσαν, ὅ τί ποτε καὶ εἶναι εἰκάζεται, μὴ ἐμποδίζεσθαι πρὸς τὸ εἶναι τῶν στοιχειωδῶς ἐν τῷ κόσμῳ θεωρουμένων οὐ συμβαινόντων αὐτῇ κατὰ τὸν λόγον τῆς φύσεως. οὐδὲ γὰρ ἐπὶ τῶν ζώντων σωμάτων, καθὼς ἤδη

1–4 cf. e.g. Greg. Nyss. Inscr. I 3 (GNO V) p. 32,22–33,1; Cant. 3 (GNO VI) p. 90,10–12

ABC ΛAW (M^2) ROΣE S 2 ὑαλίνῳ ABCΛ^{2}W ὑελίνῃ v κειμένῳ Λ ὅλως O ὁρᾶται Σ 3 μέγεθος post αὐτῷ coll Λ ἑαυτῷ M^2 ἑαυτοῦ O om R (adscr αὐτοῦ R^2) 4 ἡ om v 6 θειότητος Λ ἐλλάμπουσιν RO (ἐλα-) 7 τῶν λόγων AB 10 ἴσον: ἓν ΣE ἀορίστῳ: ἀοράτω BRO ἀορίστῳ τε καὶ om A τε καὶ ἀκηράτῳ om O σμικρὰν Λ 11 ἐπίκαιρον E 13 οὖν: οὐ B 13–14 τοῦ θεοῦ om O 14 ἐκφαινομένης Λ^2 16 μένει O καίτοι: ἔτι O εἰ post φύσεως coll ΣES ἀπαιτοίης ABLWv: ἀπαιτοίη C τις (scil εἴ τις ΣES) ἀπαιτοίη (-τεῖ O) cett 17 παμπλήθως v κτίσει: φύσει O 18 ὅμως: ὥσπερ RO διεστὸς CLOEv διστὸς A 19 ὡμολόγηται RO (ὁμ-) E καὶ: κατὰ L 20 ἀλλ' ὅτι LO post ἄλλό τι add ἡ B καὶ om R 22 οὐ: μὴ R 23 γὰρ om v

προείρηται, οἷς ἡ ὑπόστασις ἐκ τῆς τῶν στοιχείων ἐστὶ συγκράσεως, κοινωνία τις κατὰ τὸν τῆς οὐσίας λόγον ἐστὶ τῷ ἁπλῷ τε καὶ ἀειδεῖ τῆς ψυχῆς πρὸς τὴν σωματικὴν παχυμέρειαν, ἀλλ' ὅμως τὸ ἐν τούτοις εἶναι τὴν ζωτικὴν τῆς ψυχῆς ἐνέργειαν οὐκ ἀμφιβάλλεται λόγῳ τινὶ κρείττονι τῆς ἀνθρωπίνης κατανοήσεως ἀνακραθεῖσαν· οὐκοῦν οὐδὲ ἀναλυσάντων πρὸς ἑαυτὰ τῶν ἐν τῷ σώματι στοιχείων τὸ συνδέον αὐτὰ διὰ τῆς ζωτικῆς ἐνεργείας ἀπόλωλεν, ἀλλ' ὥσπερ συνεστῶτος ἔτι τοῦ τῶν στοιχείων συγκρίματος ψυχοῦται τὰ καθ' ἕκαστον ἴσως τε καὶ ὁμοίως πᾶσι τοῖς μέρεσι τοῖς συμπληροῦσι τὸ σῶμα τῆς ψυχῆς ἐνδυομένης, καὶ οὐκ ἄν τις εἴποι οὔτε στερρὰν αὐτὴν καὶ ἀντίτυπον εἶναι τῷ γεώδει συγκεκραμένην οὔτε ὑγρὰν ἢ ψυχρὰν ἢ τὴν τῷ ψυχρῷ ἀντικειμένην ποιότητα τὴν ἐν πᾶσιν οὖσαν τούτοις καὶ ἑκάστῳ τὴν ζωτικὴν δύναμιν ἐνιεῖσαν, οὕτω καὶ λυθέντος τοῦ συγκρίματος καὶ εἰς τὰ οἰκεῖα πάλιν ἀναδραμόντος τὴν ἁπλῆν ἐκείνην καὶ ἀσύνθετον φύσιν ἑκάστῳ παρεῖναι τῶν μερῶν καὶ μετὰ τὴν διάλυσιν οἴεσθαι, οὐδὲν ἔξω τοῦ εἰκότος ἐστίν, ἀλλὰ τὴν ἅπαξ ἀρρήτῳ τινὶ συμφυεῖσαν λόγῳ τῷ τῶν στοιχείων συγκρίματι καὶ εἰς ἀεὶ παραμένειν, οἷς κατεμίχθη, μηδενὶ τρόπῳ
45 M τῆς γενομένης ἅπαξ αὐτῇ συμφυΐας ἀποσπωμένην· οὐ γὰρ |ἐπειδὴ λύεται τὸ συγκείμενον, κινδυνεύει συνδιαλυθῆναι τῷ συνθέτῳ τὸ μὴ συγκείμενον.

Κἀγὼ εἶπον Ἀλλὰ τὰ μὲν στοιχεῖα συμπίπτειν τε πρὸς ἄλληλα καὶ ἀπ' ἀλλήλων διακρίνεσθαι καὶ τοῦτο εἶναι τὴν τοῦ σώματος

5 Greg. Nyss. Op. hom. 12 (PG 44) 160D; 15 (PG 44) 177B; Or. cat. 6 (GNO III,4) p. 23,4–5   16–17 cf. supra ad l. 5   19–21 Greg. Nyss. Antirrh. (GNO III,1) p. 218,26–29; Plat. Phaed. 78c1–4

ABC ΛAW (M^2) ROΣE S   1 οἷς: ἧς Λ   ἡ om O   1–2 κράσεως ROΣE   2 add γάρ ante τις M^2 3 παχυμερίαν Λv   5 ἐπινοήσεως E   6 τῷ om E   τοῖς σώμασι v   7 ἀπώλωλεν O   8 συγκράματος W^1O   add καὶ ante τὰ Λv   τὰ: τὸ S   11 στερρὸν O   12 τὴν alt om C   12–13 ἅπασιν ROΣES   13 ἐνιοῦσαν v   14 συγκράματος W^1O   15 ἁπλῆν: ἀπαθῆ RO   16 ἔξω om v   εἰκότως ABO   17 post ἅπαξ add ἀεὶ M^2 συμφυεῖσαν ante ἀρρήτῳ coll M^2 τῷ om ΛO   18 συγκράματι W^1O   add ἐν ante οἷς C   19 γινομένης v   αὐτῆς M^2 ἀποσπωμένη O   20 add καὶ ante κινδυνεύει A   23 ἀπ': πρὸς v

σύστασίν τε καὶ διάλυσιν οὐδεὶς ἂν ἀντείποι. ἐπειδὴ δὲ πολὺ τὸ μέσον ἑκάστου νοεῖται τούτων τῶν ἑτερογενῶς ἐχόντων πρὸς ἄλληλα κατά τε τὴν τοπικὴν θέσιν καὶ τὴν τῶν ποιοτήτων διαφοράν τε καὶ ἰδιότητα, συνδεδραμηκότων μὲν ἀλλήλοις περὶ τὸ ὑποκείμενον τῶν στοιχείων τὴν νοερὰν ταύτην καὶ ἀδιάστατον φύσιν, ἣν καλοῦμεν ψυχήν, ἀκόλουθον συμφυῶς πρὸς τὸ ἡνωμένον ἔχειν· εἰ δὲ ἀπ' ἀλλήλων διακριθείη ταῦτα κἀκεῖσε γένοιτο, ὅπῃπερ ἂν ἕκαστον ἡ φύσις ἄγῃ, τί πείσεται ἡ ψυχὴ πολλαχῇ τοῦ ὀχήματος αὐτῇ διασπαρέντος; ὥσπερ τις ναύτης τῆς ὁλκάδος ἐν ναυαγίῳ διαλυθείσης ἀδυνατῶν πᾶσι τοῖς τοῦ πλοίου μορίοις ἄλλοις ἀλλαχῇ τοῦ πελάγους ἐσκεδασμένοις κατὰ ταὐτὸν ἐπινήξασθαι, πάντως γὰρ τοῦ ἐπιτυχόντος λαβόμενος τὰ λοιπὰ φέρειν καταλείψει τοῖς κύμασι, τὸν αὐτὸν τρόπον ἡ ψυχὴ τῇ διακρίσει τῶν στοιχείων συνδιασχισθῆναι φύσιν οὐκ ἔχουσα, εἴπερ δυσαπαλλάκτως ἔχει τοῦ σώματος, ἑνί τινι πάντως προσφυεῖσα στοιχείῳ τῶν ἄλλων ἀποσχισθήσεται· καὶ οὐδὲν μᾶλλον ἀθάνατον αὐτὴν διὰ τὸ ἐν ἑνὶ ζῆν ἢ θνητὴν διὰ τὸ ἐν τοῖς πλείοσι μὴ εἶναι ἡ ἀκολουθία τοῦ λόγου δίδωσιν οἴεσθαι.

9–13 anima ut nauta, corpus ut naviculum: cf. Aristot. An. II 1 (413a8–9); Plat. Tim. 69c7; scil. locus communis cf. Waszink, Tertullian, p. 539; mors ut naufragium: cf. Tertul. An. 52,4; Meth. Res. I 14,3 (ed. Bonwetsch, p. 237,12–13)

ABC ΛAW (M²) ROΣE S   1 ἂν om WRO   ἐπειδὴ δὲ: ἐπεὶ δὲ ABC ἐπειδὴ Λ   2 ἑκάστῳ v   τοῦτο v   τούτων νοεῖται coll M²   τῶν om ΣES   3 τε: γε RO   ποιοτήτων: ποιημάτων v   5 add τε ante ταύτην O   6 ἀκόλουθον scil ἐστιν   συμφυῶς ante ἔχειν coll RO   7 καὶ ἐκεῖσε ΣE   γένοιντο C   ὅπουπερ RO ὅτιπερ A   ἑκάστου WRO   7–8 ἡ φύσις om M²   8 ἄγει, τί AB (sine interpunctione) Σ ἄγοι, τί v ἀπαιτῇ ROM² (-εῖ)   πεσεῖται RO   πολλαχῇ om O   αὐτῆς M²   9 καὶ ὥσπερ W ὥσπερ γάρ S   10 ἀδύνατον CO (corr sscr) ἀλλαχοῦ Λ   11 διεσκεδασμένοις M²   κατ' αὐτὸν Ov   παντὸς Lv   12 ἐπιτυχοῦντος v   καταλείψοι RS καταλήψει O   13 add καὶ ante ἡ ΣE   διακρίσει τῇ coll R   14 φύσιν: φησὶν O   add τὴν ante φύσιν v   ἔχοι BCLWΣE   15 ἐνεί O ἕν vel ἐν R²   τινι: τι M²   στοιχείων v 16 ἀθάνατον om O   ἑνὶ ... τὸ om O   τὸ alt: τῶν M²

Ἀλλ’ οὔτε συστέλλεται, φησίν, οὔτε διαχεῖται τὸ νοητόν τε καὶ ἀδιάστατον, σωμάτων γὰρ ἴδιον συστολὴ καὶ διάχυσις· ἐπ’ ἴσης δὲ κατὰ τὴν ἰδίαν φύσιν τὴν ἀειδῆ καὶ ἀσώματον τῇ τε συγκρίσει τῶν στοιχείων περὶ τὸ σῶμα καὶ τῇ διακρίσει πάρεστιν οὔτε συνεσφιγμένων ἐν τῷ συγκρίματι τῶν στοιχείων στενοχωρουμένη οὔτε ἀποφοιτησάντων ἐπὶ τὰ συγγενῆ καὶ κατὰ φύσιν αὐτοῖς ἀπολιμπανομένη, κἂν πολὺ τὸ μέσον εἶναι δοκῇ τὸ τῇ ἑτερότητι τῶν στοιχείων ἐνθεωρούμενον· πολλὴ γὰρ ἡ διαφορὰ τοῦ ἀνωφεροῦς τε καὶ κούφου πρὸς τὸ βαρὺ καὶ γεῶδες καὶ τοῦ θερμοῦ πρὸς τὸ ψυχρὸν καὶ τοῦ ὑγροῦ πρὸς τὸ ἐναντίον, ἀλλ’ ὅμως οὐδεὶς πόνος 48 M τῇ νοερᾷ φύσει| ἑκάστῳ παρεῖναι, οἷς ἅπαξ ἐνεφύη δι’ ἀνακράσεως μὴ συνδιασχιζομένη τῇ τῶν στοιχείων ἐναντιότητι. οὐ γὰρ ἐπειδὴ κατὰ τὴν τοπικὴν διάστασιν καὶ τὴν ποιὰν ἰδιότητα πόρρωθεν ἀλλήλων ταῦτα νομίζεται, διὰ τοῦτο κάμνει ἡ ἀδιάστατος φύσις τοῖς τοπικῶς διεστηκόσι συναπτομένη· ἐπεὶ καὶ νῦν ἔξεστι τῇ διανοίᾳ ὁμοῦ τε τὸν οὐρανὸν θεωρεῖν καὶ ἐπὶ τὰ πέρατα τοῦ κόσμου ταῖς πολυπραγμοσύναις ἐκτείνεσθαι καὶ οὐ διασπᾶται πρὸς τοσαῦτα μήκη τὸ θεωρητικὸν τῆς ψυχῆς ἡμῶν διατεινόμενον. οὐκοῦν οὐδὲν ἐμπόδιόν ἐστι τῇ ψυχῇ κατὰ τὸ ἴσον παρεῖναι τοῖς τοῦ σώματος στοιχείοις καὶ συγκεκραμένοις διὰ τῆς συνδρομῆς καὶ ἀπολυομένοις τῆς ἀνακράσεως. καθάπερ γὰρ χρυσοῦ καὶ ἀργύρου

1–15 cf. Porph. Sent. 27 (ed. Lamberz, p. 16,1–16); Greg. Nyss. Op. hom. 12 (PG 44) 161AB   13 cf. e.g. Porph. Sent. 1 et 33 (ed. Lamberz, p. 1,2–4 et 35,6–12); Nemes. Emes. Nat. hom. 3 (ed. Morani, p. 41,21–42,5); Greg. Nyss. Op. hom. 12 (PG 44) 157D   15–17 cf. Plat. Theaet. 173e3–6; Xen. Mem. I 4,17; Philo Leg. Alleg. I 62; Greg. Nyss. Or. cat. 10 (GNO III,4) p. 38,11–18; scil. locus communis cf. Gronau, Poseidonius, p. 241

ABC ΛAW (M^2) ΡΟΣΕ S   2 add τε ante καὶ W   διάλυσις Λ^{1}RO   ἐπίσης v ἐφίσης O   4 οὔτε om v   5 συνεσφιγμένον A συναφιγμένων O   στενοχωρουμένην B   7 δοκεῖ LWO (sed corr) v   τὸ alt om E   τῇ στερρότητι O τῆς ἑτερότητος v   8 πολὴ B   9 καὶ tert om Lv   11 ἐνεφύει O   11–12 διὰ κράσεως v   13 ποίαν v   15 τοπικοῖς AO   διεστῶσι R   συναπτομένη om C   16 οὐρανὸν: ἄνθρωπον RO   17 φιλοπραγμοσύνης W   18 ταῦτα M^2 19 οὐδὲ Σ   τῇ ψυχῇ ἐστιν coll O   21 ἀποδυομένοις B ἀπολυομέναις R   add διὰ ante τῆς CΛ^{2}E (sed eras) Sv   ἀργυρίου O

συντετηκότων ἐνθεωρεῖταί τις τεχνικὴ δύναμις ἡ τὰς ὕλας συντήξασα, καὶ εἰ πάλιν ἀποτακείη τοῦ ἑτέρου τὸ ἕτερον, οὐδὲν ἔλαττον ὁ τῆς τέχνης λόγος ἐν ἑκατέρῳ μένει - καὶ ἡ μὲν ὕλη διεμερίσθη, ἡ δὲ τέχνη οὐ συνδιετμήθη τῇ ὕλῃ, πῶς γὰρ ἂν διαιρεθείη τὸ ἄτμητον; - κατὰ τὸν αὐτὸν λόγον καὶ ἡ νοερὰ τῆς ψυχῆς φύσις καὶ τῇ συνδρομῇ τῶν στοιχείων ἐνθεωρεῖται καὶ διαλυθέντων οὐκ ἀποκρίνεται, ἀλλὰ καὶ ἐν αὐτοῖς μένει καὶ ἐν τῷ χωρισμῷ αὐτῶν συμπαρεκτεινομένη οὐ διακόπτεται οὐδὲ πρὸς τὸν ἀριθμὸν τῶν στοιχείων εἰς μερικὰ τμήματα κατακερματίζεται. τοῦτο γὰρ ἴδιον τῆς σωματικῆς τε καὶ διαστηματικῆς ἐστι φύσεως, ἡ δὲ νοερά τε καὶ ἀδιάστατος φύσις τὰ ἐκ διαστάσεως οὐκ ἀναδέχεται πάθη· οὐκοῦν ἔστιν ἐν αὐτοῖς ἡ ψυχή, ἐν οἷς ἅπαξ ἐγένετο, οὐδεμιᾶς ἀνάγκης τῆς πρὸς ἐκεῖνα συμφυΐας αὐτὴν ἀποσπώσης. τί οὖν τὸ σκυθρωπὸν ἐν τούτοις ἐστίν, εἰ τοῦ ὁρωμένου τὸ ἀειδὲς ἀνταλλάσσεται, καὶ ὑπὲρ τίνος οὕτω διαβέβληταί σοι πρὸς τὸν θάνατον ἡ διάνοια;

Ἐγὼ δὲ ἀναλαβὼν τῇ διανοίᾳ τὸν ὁρισμόν, ὃν ἐν τοῖς πρὸ τούτου λόγοις περὶ τῆς ψυχῆς ἐποιήσατο, οὐχ ἱκανῶς εἶπον ἐνδεδεῖχθαί μοι τὸν λόγον ἐκεῖνον τὰς ἐνθεωρουμένας τῇ ψυχῇ δυνάμεις, ὅς φησι νοερὰν αὐτὴν εἶναι οὐσίαν καὶ τῷ ὀργανικῷ σώματι ζωτικὴν

7–9 anima ut ἀμερής: cf. e.g. Porph. Sent. 33 (ed. Lamberz, p. 35,13–36,17); Greg. Nyss. Op. hom. 15 (PG 44) 177D 9 de huius verbi usu Platonicorum adversus Manichaeos cf. e.g. Nemes. Emes. Nat. hom. 2 (ed. Morani, p. 32,20–33,12), cf. Dörrie, Porphyrios, p. 143 13 cf. supra p. 4,1–2 15 cf. supra p. 4,2 (διαβολὴν) 16 cf. supra p. 15,6–9

ABC ΛAW (M) ROΣE S 1 δύναμις τεχνικὴ coll RO 2 ἀποκραθείη W (in mg ἐν ἄλλω ἀποτακείη) 3 μένει: μέρει O ὕλη om C 4 post τῇ ὕλῃ add συναπτομένη C 5 καὶ alt om E 7 ἐν om ROΣE 8 στοιχείων τὸν ἀριθμὸν coll S μερικὰ: μέρη καὶ ROΣE 9 τμήματα post κατακερματίζεται coll S καταμερίζεται ROΣE 11 διαθέσεως M² οὐ καταδέχεται R οὐ δέχεται O ἐν αὐτοῖς ἐστιν coll S 12 ἡ om O ἀνάγκης ... ἐκεῖνα om O 13 αὐτὴν om R 14 ἀνταλάσσεται BR ἀνταλλάττεται O 15 σοι: σου R om O 16 add ἐν ante τῇ RO πρὸ τούτου: προλαβοῦσι S 17 λόγος O τῆς om v 18 θεωρου[μένας cont M (ἐνθεωρου)μενε (del m rec) τῇ ψυχῇ M τῆς ψυχῆς O post δυνάμεις add ἐννοουμένω WM (del m rec) ὅς: ὥς O 19 αὐτὴν ante νοερὰν coll Λ ante οὐσίαν S

δύναμιν πρὸς τὴν τῶν αἰσθήσεων ἐνέργειαν ἐμποιεῖν· Οὐ γὰρ μόνον περὶ τὴν ἐπιστημονικήν τε καὶ θεωρητικὴν διάνοιαν ἐνεργός ἐστιν ἡμῶν ἡ ψυχὴ ἐν τῷ νοερῷ τῆς οὐσίας τὸ τοιοῦτον ἐργαζομένη οὐδὲ τὰ αἰσθητήρια μόνα πρὸς τὴν κατὰ φύσιν ἐνέργειαν οἰκονομεῖ, ἀλλὰ πολλὴ μὲν ἡ κατ᾽ ἐπιθυμίαν, πολλὴ δὲ καὶ ἡ κατὰ θυμὸν κίνησις
49 M ἐνθεωρεῖται τῇ φύσει. ἑκατέρου δὲ τούτων γενι|κῶς ἡμῖν ἐνυπάρχοντος εἰς πολλάς τε καὶ ποικίλας διαφορὰς ὁρῶμεν προϊοῦσαν ταῖς ἐνεργείαις ἀμφοτέρων τὴν κίνησιν· πολλὰ μὲν γὰρ ἔστιν ἰδεῖν, ὧν τὸ ἐπιθυμητικὸν καθηγεῖται, πολλὰ δὲ πάλιν, ἃ τῆς θυμοειδοῦς αἰτίας ἐκφύεται, καὶ οὐδὲν τούτων σῶμά ἐστι, τὸ δὲ ἀσώματον νοερὸν πάντως, νοερὸν δέ τι χρῆμα τὴν ψυχὴν ὁ ὁρισμὸς ἀπεφήνατο, ὥστε δυοῖν ἀτόποιν τὸ ἕτερον ἐκ τῆς ἀκολουθίας ἀνακύπτειν τοῦ λόγου· ἢ καὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν ἄλλας ἐν ἡμῖν εἶναι ψυχὰς καὶ πλῆθος ψυχῶν ἀντὶ μιᾶς καθορᾶσθαι ἢ μηδὲ τὸ διανοητικὸν τὸ ἐν ἡμῖν ψυχὴν οἴεσθαι· τὸ γὰρ νοερὸν ἐπ᾽ ἴσης πᾶσιν ἐφαρμοζόμενον ἢ πάντα ψυχὰς ἀποδείξει ταῦτα ἢ ἕκαστον τούτων ἐκ τοῦ ἴσου τοῦ ἰδιώματος τῆς ψυχῆς ἐξαιρήσει.

Ἡ δέ, Πολλοῖς, φησίν, ἤδη καὶ ἄλλοις ἐζητημένον τὸν λόγον τοῦτον ἀκολούθως καὶ αὐτὸς ἐπεζήτησας, ὅ τί ποτε χρὴ ταῦτα νομίζειν εἶναι τὸ ἐπιθυμητικόν τε καὶ τὸ θυμοειδὲς εἴτε συνουσιωμένα τῇ ψυχῇ καὶ παρὰ τὴν πρώτην εὐθὺς τῇ κατασκευῇ συνυπάρχοντα

13–15 cf. Greg. Nyss. Eun. 2 (GNO I) p. 259,9–12; Op. hom. 14 (PG 44) 176B; 15 (PG 44) 176C; cf. et Plat. Rep. 436a8–b3

ABC LΛW M ROΣE S 1 αἰσθήσεων om M[1] ποιεῖν O γὰρ om B 2 ἐνεργὴς O ἐστιν ante 3 ἡ ψυχὴ coll CΛWMRO 3 ἡμῖν ΛMO τὸ τοιοῦτον: τοῦτο O οὐδὲ: οὐ γὰρ RO 4 οἰκονομεῖν B 5 ἡ pr: οἱ O κατὰ Lv καὶ om O 6 ἑκατέρας v δὲ om O 6–7 ἐν ἡμῖν ὑπάρχοντος E ἡμῖν ἐνυπαρχούσης v 7 τε om M προσιοῦσαν O 9 δὲ: γε v πάλιν om M 10 σῶμα τούτων coll C τοῦτο Ov 11 χρῆμα om v 12 δυεῖν ABCWΣ post δυοῖν add τῶν M ἀτόποις v 13 εἶναι om O 13–16 καὶ tert … ψυχὰς om O 15 ἐπίσης Mv ἐφίσης B 16 πάντα: πάντας v ἕκαστα RO τοῦ alt: τούτου τοῦ Σ τούτου AS 18 καὶ ἄλλοις ante φησίν coll RO post φησίν coll ΛE ἤδη om RO ἐξητασμένον (sic) post λόγον coll E 19 ἐπιζητεῖς LWSv ταῦτα χρὴ coll Λ 20 τε om v τὸ alt om AΛ[1]ROS 20–21 τῇ ψυχῇ e τῆς ψυχῆς ut vid corr M 21 παρὰ: περὶ O πρώτην: αὐτὴν v

εἴτε τι ἄλλο παρ' αὐτὴν ὄντα καὶ ὕστερον ἡμῖν ἐπιγινόμενα· τὸ μὲν γὰρ ἐνορᾶσθαι τῇ ψυχῇ ταῦτα παρὰ πάντων ἐπ' ἴσης ὁμολογεῖται, τὸ δὲ ὅ τι χρὴ περὶ αὐτῶν οἴεσθαι οὔπω δι' ἀκριβείας εὗρεν ὁ λόγος, ὥστε βεβαίαν τὴν περὶ τούτων ὑπόληψιν ἔχειν, ἀλλ' ἔτι πεπλανημέναις οἱ πολλοὶ καὶ διαφόροις ταῖς περὶ τούτων δόξαις ἐπιδιστάζουσιν. ἡμῖν δὲ εἰ μὲν ἱκανὴ πρὸς ἀπόδειξιν ἀληθείας ἦν ἡ ἔξω φιλοσοφία ἡ τεχνικῶς περὶ τούτων διαλαβοῦσα, περιττὸν ἂν ἦν ἴσως τὸν περὶ ψυχῆς λόγον προτιθέναι τῷ σκέμματι· ἐπεὶ δὲ τοῖς μὲν κατὰ τὸ φανὲν ἀκόλουθον κατ' ἐξουσίαν προῆλθεν ἡ περὶ ψυχῆς θεωρία, ἡμεῖς δὲ τῆς ἐξουσίας ἄμοιροι ταύτης ἐσμέν - τῆς τοῦ λέγειν φημί, ἅπερ βουλόμεθα - κανόνι παντὸς δόγματος καὶ νόμῳ κεχρημένοι τῇ ἁγίᾳ γραφῇ, ἀναγκαίως πρὸς ταύτην βλέποντες τοῦτο δεχόμεθα μόνον, ὅ τι περ ἂν ᾖ σύμφωνον τῷ τῶν γεγραμμένων σκοπῷ. οὐκοῦν παρέντες τὸ Πλατωνικὸν ἅρμα καὶ τὴν ὑπεζευγμένην αὐτῷ ξυνωρίδα τῶν πώλων οὐχ ὁμοίως ταῖς ὁρμαῖς πρὸς ἀλλήλους ἐχόντων καὶ τὸν ὑπὲρ τούτων ἡνίοχον, δι'
52 M ὧν ἁπάντων τὰ τοιαῦτα περὶ |ψυχῆς φιλοσοφεῖ δι' αἰνίγματος, ὅσα τε αὖ ὁ μετ' ἐκεῖνον φιλόσοφος ὁ τεχνικῶς τοῖς φαινομένοις

13 cf. infra p. 81,8 (συμφωνοῦντας) 14–17 Plat. Phaedr. 246a6 sqq. 18–34.2 scil. Aristoteles, cf. Aristot. An. II 1 (413a4–9), II 2 (414a19–20); Iust. Ad Graec. 6,2 (opinio communis, cf. Riedweg, Ps.-Justin II, p. 259 sq. ad loc.); Greg. Naz. Or. 27,10 (PG 36) 24C

ABC ΛΑW M ROΣE S 1 τι ἄλλο: ἄλλα RO 2 παρά: περὶ O ἐπίσης Mv ἐφίσης O ὡμολόγηται ΛRO 3 τό: τί RO δ' Σ 6 εἰ: ἡ O ἀληθῶς v ἣν B 7 ἡ alt om MRO 8 ἦν om M ἴσως ἦν coll S προστεθῆναι (σ sscr) C 8–9 ἐπεὶ δὲ: ἐπειδὴ O ἐπειδὴ δὲ CΛWΣE 9 τὸ om O περιῆλθεν M 10 add τῆς ante ψυχῆς ES δὴ O 11 τοῦ om v βούλεται O δόγματος iteravit M del et sscr θείου M[2] 12 τῇ ἁγίᾳ κεχρημένοι coll CΛRΣE ἁγίᾳ: θείᾳ WM 12–13 ταύτης μαθόντες W (in mg γρ ταύτην βλέποντες W[2]) 13 συμφωνοῦν ΛROv τῶν om E 14 γεγραμμένω E γεγενημένων W τό: τῷ M 15 συνωρίδα ABC (-ο-) πόλων CO πολλῶν W ὁμοίαις ABS 16 τόν: τῶν A τοῦτον O 17 ἁπάντων: πάντων E ὁ πλάτων CS add τῆς ante ψυχῆς ACMRΣE φιλοσοφεῖ δι' αἰνίγματος ante περὶ coll RO 18 ὅσα scil φιλοσοφεῖ τε: τ' S θ' v (αὖ om) ὁ alt: ὃς ΣE om CS

ἀκολουθῶν καὶ τὰ νῦν ἡμῖν προκείμενα δι' ἐπιμελείας κατεξετάζων, θνητὴν εἶναι διὰ τούτων τὴν ψυχὴν ἀπεφήνατο, καὶ πάντας τούς τε πρὸ τούτων καὶ τοὺς ἐφεξῆς τούς τε καταλογάδην καὶ τοὺς ἐν ῥυθμῷ τινι καὶ μέτρῳ φιλοσοφήσαντας καταλιπόντες σκοπὸν τοῦ λόγου τὴν θεόπνευστον γραφὴν ποιησώμεθα, ἣ μηδὲν ψυχῆς ἐξαίρετον νομίζειν εἶναι νομοθετεῖ, ὃ μὴ καὶ τῆς θείας ἐστὶ φύσεως ἴδιον. ὁ γὰρ ὁμοίωμα θεοῦ τὴν ψυχὴν εἶναι εἰπὼν πᾶν, ὃ ἀλλότριόν ἐστι θεοῦ, ἐκτὸς εἶναι τοῦ ὅρου τῆς ψυχῆς ἀπεφήνατο· οὐ γὰρ ἂν ἐν τοῖς παρηλλαγμένοις διασωθείη τὸ ὅμοιον. οὐκοῦν ἐπειδὴ τοιοῦτον οὐδὲν τῇ θείᾳ συνθεωρεῖται φύσει, οὐδὲ τῇ ψυχῇ συνουσιῶσθαι ταῦτα κατὰ λόγον ἄν τις ὑπονοήσειεν. τὸ μὲν οὖν κατὰ τὴν διαλεκτικὴν τέχνην διὰ συλλογιστικῆς τε καὶ ἀναλυτικῆς ἐπιστήμης βεβαιοῦσθαι καὶ τὰ ἡμέτερα δόγματα ὡς σαθρόν τε καὶ ὕποπτον εἰς ἀπόδειξιν ἀληθείας τὸ τοιοῦτον εἶδος τοῦ λόγου παραιτησόμεθα· πᾶσι γάρ ἐστι πρόδηλον τὸ τὴν διαλεκτικὴν περιεργίαν ἴσην ἐφ' ἑκάτερα τὴν ἰσχὺν ἔχειν, πρός τε τὴν τῆς ἀληθείας ἀνατροπὴν καὶ πρὸς τὴν κατηγορίαν τοῦ ψεύδους, ὅθεν καὶ αὐτὴν τὴν ἀλήθειαν, ὅταν μετά τινος τοιαύτης τέχνης προάγηται, δι' ὑποψίας πολλάκις ποιούμεθα ὡς τῆς περὶ ταῦτα δεινότητος παρακρουομένης ἡμῶν τὴν διάνοιαν καὶ τῆς ἀληθείας ἀποσφαλλούσης· εἰ δέ τις τὸν ἀκατάσκευόν τε καὶ γυμνὸν πάσης περιβολῆς προσίοιτο λόγον, ἐροῦμεν

7 cf. Gen. 1,26; cf. Greg. Nyss. Op. hom. 4 (PG 44) 137B–C; 18 (PG 44) 192A–B 11–14 cf. Greg. Nyss. Eun. 3 (GNO II) p. 3,16–4,5 15–16 cf. Bas. Caes. Adulesc. 8 (PG 31) 588A; Aristot. Rhet. I 1 (1355a29–36); Top. I 14 (105b33) 17–19 cf. supra ad l. 11–14

ABC ΛAW M ROΣE S 1–2 ἀντ' ἐξετάζων R (sed corr in mg) 4 ἐν ῥυθμῷ: ἐρρύθμω AB εὐρύθμω Σ καὶ om ABCROΣE μέτρων RO καταλείποντες O 5 ποιησόμεθα ABRΣE μηδὲν ante 6 νομίζειν coll v 6 εἶναι om M φύσεως ἐστὶν coll MOEv 7 ὁμοίαν RO εἰπὼν: φήσας v 8 ἐστι om M[1] add τοῦ ante θεοῦ WE οὐ: οὐδὲ v 9 ἐπεὶ Λ 10 οὐδὲν: οὐδὲ v συνουσιοῦσθαι Mv 12 συλλογικῆς LW 14 τοιοῦτο E τοῦ om M παραιτησωμεθα LΛWOS 16 ἔχει O 17 τοῦ ψεύδους κατηγορίαν coll v 18 add τῆς ante τοιαύτης M προσάγηται LMROES 19 περὶ: παρὰ O ταύτης v παρακρουμένης M[1] 20 ἀποσφαλείσης v 20–21 ἀκατασκεύαστον CE 21 τε om E προσοίτω O προσίοι τὸν A

ὅπως ἂν οἷόν τε ᾖ κατὰ τὸν εἱρμὸν τῆς γραφικῆς ὑφηγήσεως τὴν περὶ τούτων θεωρίαν προσάγοντες. τί οὖν ἐστιν ὅ φαμεν; τὸ λογικὸν τοῦτο ζῷον, ὁ ἄνθρωπος, νοῦ τε καὶ ἐπιστήμης δεκτικὸν εἶναι καὶ παρὰ τῶν ἔξω τοῦ λόγου τοῦ καθ' ἡμᾶς μεμαρτύρηται οὐκ ἂν οὕτω τοῦ ὁρισμοῦ τὴν φύσιν ἡμῶν ὑπογράφοντος, εἴπερ ἐνεώρα θυμόν τε καὶ ἐπιθυμίαν καὶ τὰ τοιαῦτα πάντα συνουσιωμένα τῇ φύσει· οὐδὲ γὰρ ἐπ' ἄλλου τινὸς ὅρον ἄν τις ἀποδοίη τοῦ ὑποκειμένου
53 M τὸ κοινὸν ἀντὶ τοῦ ἰδίου λέγων. |ἐπεὶ οὖν τὸ ἐπιθυμητικόν τε καὶ θυμοειδὲς κατὰ τὸ ἴσον καὶ ἐπὶ τῆς ἀλόγου [τε καὶ λογικῆς] φύσεως καθορᾶται, οὐκ ἄν τις εὐλόγως ἐκ τοῦ κοινοῦ χαρακτηρίζοι τὸ ἴδιον· ὃ δὲ πρὸς τὴν τῆς φύσεως ὑπογραφὴν περιττόν ἐστι καὶ ἀπόβλητον, πῶς ἔστιν ὡς μέρος τῆς φύσεως ἐπὶ ἀνατροπῇ τοῦ ὅρου τὴν ἰσχὺν ἔχειν; πᾶς γὰρ ὁρισμὸς οὐσίας πρὸς τὸ ἴδιον τοῦ ὑποκειμένου βλέπει, ὅ τι δ' ἂν ἔξω τοῦ ἰδιάζοντος ᾖ, ὡς ἀλλότριον παροράται τοῦ ὅρου. ἀλλὰ μὴν ἡ κατὰ θυμόν τε καὶ ἐπιθυμίαν ἐνέργεια κοινὴ πάσης τῆς ἀλόγου ⟨τε καὶ λογικῆς⟩ φύσεως ὁμολογεῖται· πᾶν δὲ τὸ κοινὸν οὐ ταὐτόν ἐστι τῷ ἰδιάζοντι· ἀνάγκη ἄρα διὰ τούτων ἐστὶ μὴ ἐν τούτοις εἶναι ταῦτα λογίζεσθαι, ἐν οἷς κατ' ἐξαίρετον ἡ ἀνθρωπίνη χαρακτηρίζεται φύσις, ἀλλ' ὥσπερ τὸ αἰσθητικὸν καὶ τὸ θρεπτικὸν καὶ αὐξητικὸν ἐν ἡμῖν τις ἰδὼν οὐκ ἀναλύει διὰ τούτων τὸν ἀποδοθέντα περὶ τῆς ψυχῆς ὅρον, οὐ γὰρ ἐπειδὴ τοῦτο ἔστιν ἐν τῇ ψυχῇ, ἐκεῖνο οὐκ ἔστιν· οὕτως καὶ

ABC LΛW M ROΣE S 1 ὡς Ov τε: τι A εἴη AB εἰσηγήσεως Λ 2 τούτου RO προάγοντες Λ^{2}Σ 3 τε om B καὶ alt: ἢ v 4 μαρτυρεῖται Λ post ἂν add δὲ LE 5 ἐνωρα A 6 πάντα om M συνουσιουμένα O 7 οὐδὲ: οὐ W οὔτε M ἐπ': ἀπ' M 8 λέγω Λ ἐπεὶ: εἰ W 9 τὸ: τὸν A καὶ alt om RS τε om AB τε καὶ λογικῆς hic delere voluit Langerbeck vide infra ad 16 10 καθορᾶται φύσεως coll S χαρακτηριάζοι C -ρίζῃ W^2 -ρίζει MOv 11 ἐστι: τε v 12 ἔστιν: ἔτι L ἔνεστιν v ἐπ' v 13 ἔχει LM^1 ἔχον RS 14 ᾖ: ex ἢ M εἴη B 15 τε om CΛW 16 πᾶσι S post πάσης add εἶναι ΛMROv λογικῆς τε καὶ suppl Sifanus et v, τε καὶ λογικῆς (post ἀλόγου) ex 9 suppl Langerbeck 17 ὡμολόγηται ΛRO δὲ: τε R om O τὸ om Λ ἐστι: εἶναι R 18 τούτων: τούτου S 20 αἰσθητὸν O αἰσθητι M^1 τὸ alt om RO καὶ αὐξητικὸν om ΛΣS add τὸ ante αὐξητικὸν WME 21 εἰδὼν B περὶ om v τῆς om RO ὅρον: λόγον O

τὰ περὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν κατανοήσας τῆς φύσεως ἡμῶν κινήματα οὐκ ἂν εὐλόγως τῷ ὅρῳ μάχοιτο ὡς ἐλλιπῶς ἐνδειξαμένῳ τὴν φύσιν.

Τί οὖν χρὴ περὶ τούτου γινώσκειν; εἶπον πρὸς τὴν διδάσκαλον· οὔπω γὰρ οἷός τέ εἰμι κατιδεῖν, ὅπως προσήκει τὰ ἐν ἡμῖν ὄντα ὡς ἀλλότρια τῆς φύσεως ἡμῶν ἀποποιεῖσθαι.

Ὁρᾷς, φησίν, ὅτι μάχη τίς ἐστι τοῦ λογισμοῦ πρὸς ταῦτα καὶ σπουδὴ τοῦ μονωθῆναι τὴν ψυχὴν τούτων ὡς ἂν οἷόν τε ᾖ καί εἰσί γέ τινες οἷς κατώρθωται ἡ σπουδή, καθάπερ ἐπὶ τοῦ Μωϋσέως ἀκούομεν, ὅτι κρείττων ἦν θυμοῦ τε καὶ ἐπιθυμίας ἐκεῖνος ἀμφότερα μαρτυρούσης αὐτῷ τῆς ἱστορίας ὅτι τε πρᾶος ἦν παρὰ πάντας ἀνθρώπους, ἐνδείκνυται δὲ τὸ ἀόργητον διὰ τοῦ πράου καὶ τὴν πρὸς τὸν θυμὸν ἀλλοτρίωσιν καὶ ὅτι οὐκ ἐπεθύμησε τούτων τινός, περὶ ἃ ὁρῶμεν ἐν τοῖς πολλοῖς τὸ ἐπιθυμητικὸν ἐνεργούμενον· ὅπερ οὐκ ἂν ἐγένετο, εἰ φύσις ἦν ταῦτα καὶ εἰς τὸν λόγον τῆς οὐσίας ἀνήγετο, οὐ γάρ ἐστι δυνατὸν τὸν ἔξω γεγονότα τῆς φύσεως ἐν τῷ εἶναι μένειν· ἀλλὰ μὴν ὁ Μωϋσῆς καὶ ἐν τῷ εἶναι ἦν καὶ ἐν τούτοις οὐκ ἦν. ἄλλο τι ἄρα παρὰ τὴν φύσιν ἐστὶ ταῦτα καὶ οὐχὶ φύσις, ἡ γὰρ ἀληθῶς φύσις τοῦτό ἐστιν, ἐν ᾧ τὸ εἶναι τῆς οὐσίας καταλαμβάνεται,

9–17 exemplum Moysis: Greg. Nyss. Op. hom. 18 (PG 44) 193D–196A; Philo Leg. Alleg. III 129–134; cf. Greg. Nyss. Mort. (GNO IX) p. 56,10–21; Greg. Naz. Carm. 1,2,25 vv. 190–195 (PG 37) 826A–827A 10 scil. aliter ac Eurip. Med. 1079 11–12 πρᾶος: Num. 12,3 12–13 ad definitionem cf. Orig. In Matth. frg. 81 (ed. Klostermann / Benz, p. 48); aliter Greg. Nyss. Beat. 1 (GNO VII,2) p. 93,9–12 13–14 ἐπιθυμία: cf. Greg. Nyss. Vit. Moys. (GNO VII,1) p. 124,7–9

ABC ΛAW M ROΣE S 1 τὰ om B νοήσας O 2 ἐλλιπῶς W^2MRΣE: ἐλλιπῆ S ἐλλειπῶς cett v 4 χρὴ om O τούτων ΛWMR εἶπον om R 5 γὰρ om B προσήκοι C 5–6 ἡμῖν … φύσεως iterat A 6 ἡμῶν: ἡμῖν E 8 σπουδὴν O τε: τις v ad 8–9 in mg ἐν ἄλλω εἰ καὶ εἰσι γέ τινες B 9 τοῦ: τῆς O μωσέως ΛΣE 10 κρεῖττον ABCW^1 θυμὸς O τε om OE 11 τε om Ov παρὰ: περὶ O post πάντας add τοὺς M 12 πράου om Λ 13 τούτων om O 14 πολλοῖ B 15 εἰ: ἡ M^1O καὶ om O 17 ὁ: εἰ v Μωσῆς Λv post εἶναι add μὲν WM 18 ἀλλ' ὅτι AW^1OS ἀλλότρια B τι om E ἄρα post φύσιν coll O om M φύσις: φύσεως M ἡ: εἰ Lv

τούτων δὲ ἡ ἀλλοτρίωσις ἐφ’ ἡμῖν κεῖται, ὡς μὴ μόνον ἀζήμιον, ἀλλὰ καὶ ἐπικερδὲς εἶναι τῇ φύσει τὸν ἀφανισμὸν τῶν τοιούτων. δῆλον 56 M οὖν ὅτι τῶν ἔξωθεν ἐπιθεωρουμένων ἐστὶ |ταῦτα, πάθη τῆς φύσεως ὄντα καὶ οὐκ οὐσία· ἡ μὲν γάρ ἐστιν ὅπερ ἐστίν, θυμὸν δὲ ζέσιν εἶναι τοῦ περικαρδίου αἵματος τοῖς πολλοῖς δοκεῖ, ἑτέροις δὲ ὄρεξιν τοῦ ἀντιλυπῆσαι τὸν προκατάρξαντα, ὡς δ’ ἂν ἡμεῖς ὑπολάβοιμεν, θυμός ἐστιν ὁρμὴ τοῦ κακῶσαι τὸν παροξύνοντα· ὧν οὐδὲν τῷ περὶ ψυχῆς ὅρῳ συμβαίνει. κἂν τὴν ἐπιθυμίαν ἐφ’ ἑαυτῆς ὁρισώμεθα, ἔφεσιν λέξομεν τοῦ ἐνδέοντος ἢ πόθον τῆς καθ’ ἡδονὴν ἀπολαύσεως ἢ λύπην ἐπὶ τῷ μὴ κατ’ ἐξουσίαν ὄντι καταθυμίῳ ἤ τινα πρὸς τὸ ἡδὺ σχέσιν, οὗ μὴ πάρεστιν ἡ ἀπόλαυσις· ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα τὴν μὲν ἐπιθυμίαν ἐνδείκνυται, τοῦ δὲ ὁρισμοῦ τοῦ περὶ ψυχῆς οὐ προσάπτεται. ἀλλὰ καὶ ὅσα ἄλλα περὶ τὴν ψυχὴν καθορᾶται, τὰ ἐξ ἀντιθέτου ἀλλήλοις ὁρώμενα οἷον δειλία καὶ θράσος, λύπη καὶ ἡδονή, φόβος καὶ καταφρόνησις καὶ ὅσα τοιαῦτα, ὧν ἕκαστον συγγενῶς μὲν ἔχειν δοκεῖ πρὸς τὸ ἐπιθυμητικὸν ἢ θυμοειδές,

4–5 θυμός ut ζέσις: Plat. Rep. 440c7; Cra. 419 e 1–2; Ti. 70b3; Aristot. An. I 1 (403a31); Chrysippus Frg. 416 (SVF III p. 101,44) apud Nemes. Emes.; Plot. IV 4, 28, 30; Greg. Naz. Carm. 1,2,25 v. 35 (PG 37) 816A; definitio communis cf. Oberhaus, p. 58 sq. 5–6 θυμός ut ὄρεξις τοῦ ἀντιλυπῆσαι: Aristot. An. I 1 (403a30–31) 7 cf. e.g. Lact. Ira 17 8–13 cf. Aristot. EN III 13 (1118b18–19) et III 14 (1119a1–5); An. II 3 (414b5–6); Nemes. Emes. Nat. hom. 17 (ed. Morani, p. 75,7 sqq.)

ABC ΛAW M ROΣE S 1 πρόκεῖται (sic) W ζημίαν W[1]M[1] 2 ἐπικερδῆ RO 3 οὖν om M add τὰ ante πάθη Lv 4 οὐκ οὐσία: ἀκουσια O ἡ: εἰ L post ὅπερ ἐστίν add οἷον ἡ φύσις RO 5 περὶ καρδίαν v et Arist De anima 403a30–31 τοῖς om Λ ἕτεροι ALv ἕτερος BCΣE 8 κἂν: καὶ BCWM ἐφ’ ἑαυτῆς: ἐφ’ ἑαυτοῦ O om WM ὁρισώμεθα: διορισώμεθα Lv δὲ εἰ ὁρισόμεθα M εἰ δὲ ὁρισώμεθα W ὁριζόμενοι Λ 9 post ἔφεσιν add δὲ O λέξωμεν M[2] (corr ex λέΓωμεν sic M) ΛO 10 ad ἢ pr … ὄντι scr in mg ἐν ἄλλω τὴν δὲ λύπην ἐπὶ τῷ μὴ κατ’ ἐξουσίαν ἔχοντι καταθυμίως W τῷ μὴ: τὸ μὴ B τῶν M[1] καταθυμητικῷ v 12 δείκνυται O 13 τὴν om v 14 δηλίαν O 14–15 δειλία … λύπη καὶ ἡδονή, φόβος καὶ καταφρόνησις AB: δειλίαν … λύπην καὶ ἡδονήν, φόβον καὶ καταφρόνησιν cett v 15 λύπην καὶ ἡδονὴν post καταφρόνησιν coll RO καὶ ante καταφρόνησιν om O add καὶ ante ὧν M 16 μὲν om v

ἰδιάζοντι δὲ ὅρῳ τὴν ἰδίαν ὑπογράφει φύσιν· τό τε γὰρ θράσος καὶ ἡ καταφρόνησις ἔμφασιν ὑποσημαίνει τινὰ τῆς θυμώδους ὁρμῆς, ἐλάττωσιν δέ τινα καὶ ὕφεσιν τοῦ αὐτοῦ τούτου ἡ κατὰ δειλίαν καὶ φόβον ἐγγινομένη σχέσις· ἡ δὲ λύπη ἐξ ἀμφοτέρων ἔχει τὰς ὕλας, ἥ τε γὰρ τοῦ θυμοῦ ἀτονία ἐν τῇ τοῦ ἀμύνασθαι τοὺς προλελυπηκότας ἀδυναμίᾳ λύπη γίνεται καὶ ἡ ἀπόγνωσις τῶν ἐπιθυμουμένων καὶ ἡ στέρησις τῶν καταθυμίων τὴν σκυθρωπὴν ταύτην ἐμποιεῖ τῇ διανοίᾳ διάθεσιν· καὶ τὸ ἀντιθεωρούμενον τῇ λύπῃ, τὸ καθ' ἡδονὴν λέγω νόημα, ὁμοίως τῷ θυμῷ τε καὶ τῇ ἐπιθυμίᾳ ἐπιμερίζεται· ἡδονὴ γὰρ ἑκατέρου τούτων κατὰ τὸ ἴσον ἡγεμονεύει. ἅπερ πάντα καὶ περὶ τὴν ψυχήν ἐστι καὶ ψυχὴ οὐκ ἔστιν, ἀλλ' οἷον μυρμηκίαι τινὲς τοῦ διανοητικοῦ μέρους τῆς ψυχῆς ἐκφυόμεναι, ἃ μέρη μὲν αὐτῆς εἶναι διὰ τὸ προσπεφυκέναι νομίζεται, οὐ μὴν ἐκεῖνό εἰσιν, ὅπερ ἐστὶν ἡ ψυχὴ κατ' οὐσίαν.

Καὶ μὴν ὁρῶμεν, φημὶ πρὸς τὴν παρθένον, οὐ μικρὰν ἐκ τούτων
57 M γινο|μένην τὴν πρὸς τὸ κρεῖττον συνεισφορὰν τοῖς ἐναρέτοις· τῷ τε γὰρ Δανιὴλ ἔπαινος ἦν ἡ ἐπιθυμία καὶ ὁ Φινεὲς τῷ θυμῷ τὸν θεὸν ἱλεώσατο καὶ ἀρχὴν σοφίας φόβον ἐμάθομεν καὶ τῆς κατὰ θεὸν λύπης σωτηρίαν εἶναι τὸ πέρας παρὰ τοῦ Παύλου ἠκούσαμεν τῶν

11 μυρμηκίαι: cf. Plat. Rep. 611d4–7 16–17 Daniel: cf. Dan. 9,23; 10,11; 10,19 17–18 Finees: cf. Num. 25,11 18 ἀρχὴν σοφίας: Prov. 9,10 18–19 Paulus: II Cor. 7,10 19–39.1 τῶν δεινῶν καταφρόνησις: cf. Matth. 10,28; Luc. 21,9

ABC ΛΑW M ROΣE S 1 ἰδίαν: οἰκείαν M ὑπογράφειν CO (corr ex -ην) ἀνυπογράφει v 2 θυμοειδοῦς B (corr m pr) ΛWMRE ἀφορμῆς E 3 τοῦ om RO 4 ἔχειν O ἥ: εἰ L 5 ἀτονία: ἄτινα B 5–6 τῇ … ἀδυναμίᾳ: τῷ … ἀδυνάτῳ v 7 ἡ στέρησις: ὑστέρησις M ἐποιεῖ M^1 8 ἀντιθεωρουμένων O τὸ om AB 9 λέγων νόσημα E τε om AS 10 ἅπερ: ἃ v ἅπαντα WM 11 καὶ om W τὴν om AB ψυχὴ οὐκ ἔστιν: ψυχῆς οὐ μέρη W μερμηνίαι O 12 ἐκφυόμενα AB 13 post εἶναι add τισιν WM (τισὶ) εἰσιν: εἶναι RO 14 ἐστιν post οὐσίαν coll RO ἡ om M^1 15 τούτου O 16 γινομένην in ras vel in spatio S (m alt) πρὸς: εἰς ΣE τῷ: τὸ O 17 γὰρ om M ἦν om RO ἡ om AM^1 18 ἱλάσατο Λ ἐξιλεώσατο AB add τὸν ante φόβον Λ 19 πέρας: κέρδος in ras vel in spatio S (m alt) om OΣ παρὰ: περὶ O

τε δεινῶν τὴν καταφρόνησιν νομοθετεῖ ἡμῖν τὸ εὐαγγέλιον καὶ τὸ μὴ φοβεῖσθαι πτόησιν οὐδὲν ἄλλο ἢ τοῦ θράσους ἐστὶν ὑπογραφή, ὅπερ ἐν ἀγαθοῖς ὑπὸ τῆς Σοφίας κατείλεκται. δείκνυσι τοίνυν διὰ τούτων ὁ λόγος τὸ μὴ πάθη τὰ τοιαῦτα δεῖν οἴεσθαι· οὐ γὰρ ἂν πρὸς ἀρετῆς κατόρθωσιν συμπαραληφθείη τὰ πάθη.

Καὶ ἡ διδάσκαλος, Ἔοικα, φησί, τῆς τοιαύτης τῶν λογισμῶν συγχύσεως αὐτὴ τὴν αἰτίαν παρέχειν μὴ διακρίνασα τὸν περὶ τούτου λόγον, ὥστε τινὰ τάξιν ἀκόλουθον ἐπιτεθῆναι τῇ θεωρίᾳ. νῦν οὖν, ὅπως ἂν οἷόν τε ᾖ, ἐπινοηθήσεταί τις τάξις τῷ σκέμματι, ὡς ἂν δι' ἀκολούθου προϊούσης τῆς θεωρίας μηκέθ' ἡμῖν αἱ τοιαῦται τῶν ἀντιθέσεων ἔχοιεν χώραν. φαμὲν γὰρ τῆς ψυχῆς τὴν μὲν θεωρητικήν τε καὶ διακριτικὴν καὶ τῶν ὄντων ἐποπτικὴν δύναμιν οἰκείαν εἶναι καὶ κατὰ φύσιν αὐτῇ καὶ τῆς θεοειδοῦς χάριτος διὰ τούτων σῴζειν ἐν αὐτῇ τὴν εἰκόνα, ἐπεὶ καὶ τὸ θεῖον, ὅ τί ποτε κατὰ τὴν φύσιν ἐστίν, ἐν τούτοις ὁ λογισμὸς εἶναι στοχάζεται ἐν τῷ ἐφορᾶν τε τὰ πάντα καὶ διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος· ὅσα δὲ τῆς ψυχῆς ἐν μεθορίῳ κεῖται πρὸς ἑκάτερον τῶν ἐναντίων ἐπιρρεπῶς κατὰ τὴν ἰδίαν ἔχοντα φύσιν, ὧν ἡ ποιὰ χρῆσις ἢ πρὸς

1–2 τὸ μὴ φοβεῖσθαι πτόησιν: I Petr. 3,6; Prov. 3,25 2–3 θράσος: Sap. 12,17 (cod. Alex.) 15–16 cf. Greg. Nyss. Op. hom. 5 (PG 44) 137C; et e.g. Soph. El. 174 sq.; Solo 13,17 (ed. West) 17–18 anima ἐν μεθορίῳ: cf. e.g. Plot. IV 8,4,32; Greg. Nyss. Op. hom. 16 (PG 44) 181B–C 18 ἡ ποιὰ χρῆσις: cf. e.g. Greg. Nyss. Or. cat. 16 (GNO III,4) p. 46,2–12 et infra p. 46,14–21

ABC ΛΑW M ROΣE S 1 τε: δὲ BRO om A νουθετεῖ v καὶ τὸ: τὸ δὲ RO τὸ E post καὶ τὸ spatium septem litt σθαι S 2 πτώησιν O (vel ω vel ο) δίνησιν W (sscr γρ πτόησιν W²) θάρσους RΣ 3 καταλέλεκται Σ 4 τούτων: τῶν τοιούτων v τὰ τοιαῦτα: ταῦτα A δεῖν οἴεσθαι: διανοῆσθαι O νοεῖσθαι R οἴεσθαι ΣE 5 συμπαραλειφθείη W 7 συσχέσεως O αὐτὴν v 8 τούτον M τούτων ΛΣES ἐπιτεθῆναι ἀκόλουθον RO 9 νῦν οὖν: οὐκ οὖν W νῦν οὐκοῦν M ἐπινοήσεται A 10 μηκέτι CRO μὴ καθ' Lv ἡμῶν Lv 11 τῆς ψυχῆς om E μὲν om M 13 καὶ ante κατὰ om ABΣE αὐτὴν v add διὰ ante τῆς v τὰς θεοειδοῦς χάριτας M 14 τοῦτο v ἐν ἑαυτῇ WMRO τὸ om B 15 τὴν om ΑΛΟ ἐν pr: ἐ A ὁ om C 16 ἀφορᾶν v καλὸν: κρεῖττον O 18 ἔχοντα ante κατὰ coll E post φύσιν coll v ποῖα M ποία v

τὸ καλὸν ἢ πρὸς τὸ ἐναντίον ἄγει τὴν ἔκβασιν, οἷον τὸν θυμὸν ἢ τὸν φόβον ἢ εἴ τι τοιοῦτον τῶν ἐν τῇ ψυχῇ κινημάτων ἐστίν, ὧν ἄνευ οὐκ ἔστιν ἀνθρωπίνην θεωρηθῆναι φύσιν, ταῦτα ἔξωθεν ἐπιγεγενῆσθαι αὐτῇ λογιζόμεθα διὰ τὸ τῷ ἀρχετύπῳ κάλλει μηδένα τοιοῦτον ἐνθεωρεῖν χαρακτῆρα. ὁ δὲ δὴ περὶ τούτων λόγος ἡμῖν τέως ὡς ἐν γυμνασίῳ προκείσθω, ὡς ἂν διαφύγοι τῶν συκοφαντικῶς ἀκουόντων τὰς ἐπηρείας. ὁδῷ τινι καὶ τάξεως ἀκολουθίᾳ πρὸς τὴν
60 M ἀνθρωποποιΐαν ὁρμῆσαι τὸ θεῖον διηγεῖται ὁ λόγος· | ἐπειδὴ γὰρ συνέστη τὸ πᾶν, καθὼς ἡ ἱστορία φησίν, οὐκ εὐθὺς ὁ ἄνθρωπος ἐν τῇ γῇ γίνεται, ἀλλὰ τούτου μὲν ἡ τῶν ἀλόγων προηγήσατο φύσις, ἐκείνων δὲ τὰ βλαστήματα. δείκνυσιν, οἶμαι, διὰ τούτων ὁ λόγος, ὅτι ἡ ζωτικὴ δύναμις ἀκολουθίᾳ τινὶ τῇ σωματικῇ καταμίγνυται φύσει πρῶτον μὲν τοῖς ἀναισθήτοις ἐνδύνουσα, μετὰ τοῦτο δὲ ἐπὶ τὸ αἰσθητικὸν προϊοῦσα, εἶθ᾽ οὕτως πρὸς τὸ νοερόν τε καὶ λογικὸν ἀναβαίνουσα. οὐκοῦν τῶν ὄντων τὸ μὲν σωματικόν, τὸ δὲ νοερόν ἐστι πάντως, τοῦ δὲ σωματικοῦ τὸ μὲν ἔμψυχόν ἐστι, τὸ δὲ ἄψυχον· ἔμψυχον δὲ λέγω τὸ μετέχον ζωῆς, τῶν δὲ ζώντων τὰ μὲν αἰσθήσει συζῇ, τὰ δὲ ἀμοιρεῖ ταύτης· πάλιν τῶν αἰσθητικῶν

6 ὡς ἐν γυμνασίῳ: e.g. Greg. Nyss. Hex. (GNO IV, 1) p. 13,16–19; Op. hom. 16 (PG 44) 185A; Trid. spat. (GNO IX) p. 286,15–16 7 τάξις et ἀκολουθία S. scripturae: cf. e.g. Greg. Nyss. Inscr. II 11 (GNO V) p. 115,22–25; Beat. 2 (GNO VII, 2) p. 90,3–7; de Gen. 1: cf. Greg. Nyss. Op. hom. 8 (PG 44) 144C, 148B 8–11 cf. Gen. 1,11–27 11–42.4 cf. Greg. Nyss. Op. hom. 8 (PG 44) 144C–148C; Arbor porphyriana: cf. e.g. Porph. Isag. II (CAG 4,1, ed. Busse, p. 4,21–25); Philo Quis rer. div. 133–140; Agric. 139; Bas. Caes. Spir. Sanct. (PG 32) 144B–C

ABC ΛAW M ROΣE S 2 εἴ om RO add τὸ ante τοιοῦτον v ἄνευ om O 3 φύσιν θεωρηθῆναι coll WM ἐπιγενέσθαι LOv ἐπιγενήσεσθαι WM 4 αὐτῇ om M τὸ om AB τῷ om M 5 ἐνθεωρηθῆναι MROv τούτων: τῶν τοιούτων R τέως om v 6 ὡς om C διαφύγει O 7 ἐπηρίας L 9 add δὲ post εὐθὺς W²ROΣES 10 προηγεῖται O 13 ταῖς S ἐνδύουσα v μετὰ: κατὰ v τούτου O 14 τό: τὸν Λ 14–15 λογικόν τε καὶ νοερὸν coll A 14 τε om v 15 λογιστικὸν v μεταβαίνουσα S 15–16 τὸ μὲν λογικὸν (sic) τὸ δὲ σωματικὸν coll RO 16 ἐμψυχον: ἔψυχον B 16–17 ἄψυχον … ἔμψυχον RO 16 post ἐστι sex litt eras Λ 17 δὲ tert om B ζώντων: ζώων ΣE 18 συνζῇ B ζῇ A δὲ om v

τὰ μὲν λογικά ἐστι, τὰ δὲ ἄλογα. ἐπεὶ οὖν ἡ αἰσθητικὴ ζωὴ οὐκ ἂν δίχα τῆς ὕλης συσταίη οὐδ᾽ ἂν τὸ νοερὸν ἄλλως ἐν σώματι γένοιτο μὴ τῷ αἰσθητικῷ ἐμφυόμενον, τούτου χάριν τελευταία ἡ τοῦ ἀνθρώπου κατασκευὴ ἱστορεῖται ὡς πᾶσαν ἐκπεριειληφότος τὴν ζωτικὴν ἰδέαν τήν τε ἐν τοῖς βλαστήμασι καὶ τὴν ἐν τοῖς ἀλόγοις θεωρουμένην· τὸ μὲν γὰρ τρέφεσθαί τε καὶ αὔξεσθαι ἐκ τῆς φυτικῆς ἔχει ζωῆς, ἔστι γὰρ τὸ τοιοῦτον καὶ ἐν ἐκείνοις ἰδεῖν ἑλκομένης τε διὰ ῥιζῶν τῆς τροφῆς καὶ ἀποποιουμένης διὰ καρπῶν τε καὶ φύλλων, τὸ δὲ κατ᾽ αἴσθησιν οἰκονομεῖσθαι ἐκ τῶν ἀλόγων ἔχει, τὸ δὲ διανοητικόν τε καὶ λογικὸν ἄμικτόν ἐστι καὶ ἰδιάζον ἐπὶ ταύτης τῆς φύσεως ἐφ᾽ ἑαυτοῦ θεωρούμενον. ἀλλ᾽ ὥσπερ τὸ ἐφελκτικὸν τῶν ἀναγκαίων πρὸς τὴν ὑλικὴν ζωὴν ἡ φύσις ἔχει, ὅπερ ἐν ἡμῖν γενόμενον ὄρεξις λέγεται, τοῦτο δέ φαμεν τοῦ φυτικοῦ τῆς ζωῆς εἴδους εἶναι, ἐπειδὴ καὶ ἐν ἐκείνοις ἔστιν ἰδεῖν οἷόν τινας ὁρμὰς φυσικῶς ἐνεργουμένας ἐν τῷ πληροῦσθαί τε τοῦ οἰκείου καὶ ὀργᾶν πρὸς τὴν ἔκφυσιν, οὕτως καὶ ὅσα τῆς ἀλόγου φύσεώς ἐστιν ἴδια, ταῦτα τῷ νοερῷ τῆς ψυχῆς κατεμίχθη· ἐκείνων, φησίν, ὁ θυμός, ἐκείνων ὁ φόβος, ἐκείνων τὰ ἄλλα πάντα ὅσα κατὰ τὸ ἐναντίον ἐν ἡμῖν ἐνεργεῖται πλὴν τῆς λογικῆς τε καὶ διανοητικῆς δυνάμεως, ὃ δὴ μόνον τῆς ἡμετέρας ζωῆς ἐστιν ἐξαίρετον ἐν ἑαυτῷ, καθὼς εἴρηται, τοῦ θείου χαρακτῆρος ἔχον τὴν μίμησιν. ἀλλ᾽ ἐπειδὴ κατὰ τὸν ἤδη προαποδοθέντα λόγον

10–11 ἄμικτον: cf. Aristot. An. III 5 (430a17–18) 22–42.2 cf. supra p. 41,1–3

ABC LΛW M ROΣE S 1 ἡ om ΣES 2 ἀλλ᾽ ὡς L 3 τῷ: τὸ M om ΣE αἰσθητικῶς ΣE τελεταῖον B 4 ἱστόρηται RS ἐκπεριειληφότος CLΛOv: ἐμπεριειληφότος Λ^2 cett 5 τὴν om A τοῖς om Λ 6 γὰρ om v καὶ om v αὐξάνεσθαι ΛΣ 7 φυσικῆς BΛ^1R τοιοῦτο O ἐν: ἐπ᾽ O om A 8 τε διὰ … ἀποποιουμένης om O post τε add καὶ v τῆς τροφῆς ante διὰ ῥιζῶν coll R 11 καὶ om v ἐπὶ: ἀπὸ S ἑαυτῇ v 12 ἐφελτικὸν AM 13 γινόμενον WM om A λέγεται: γίνεται R δὲ om O 14 φυσικοῦ Av ἐπεὶ δὲ v 16 τοὺς οἰκείους O καὶ om C ὁρμᾶν RO ὀργάνου C post ὅσα add καὶ CΣ 18 φησίν: γὰρ RO 19 ἐν om A λογιστικῆς Λ^2 τε om C 20 ἐστιν om v 22 προαποδειχθέντα MR προυποδειχθέντα O

οὐκ ἔστιν ἄλλως τὴν λογικὴν δύναμιν ἐγγενέσθαι τῇ σωματικῇ 61 M ζωῇ μὴ διὰ τῶν αἰσθήσεων ἐγγινομένην, ἡ δὲ αἴσθησις ἐν | τῇ τῶν ἀλόγων προϋπέστη φύσει, ἀναγκαίως διὰ τοῦ ἑνὸς καὶ πρὸς τὰ συνημμένα τούτῳ γίνεται τῆς ψυχῆς ἡμῶν ἡ κοινωνία· ταῦτα δέ ἐστιν ὅσα ἐν ἡμῖν γινόμενα πάθη λέγεται, ἃ οὐχὶ πάντως ἐπὶ κακῷ τινι τῇ ἀνθρωπίνῃ συνεκληρώθη ζωῇ· ἦ γὰρ ἂν ὁ δημιουργὸς τῶν κακῶν τὴν αἰτίαν ἔχοι, εἰ ἐκεῖθεν αἱ τῶν πλημμελημάτων ἦσαν ἀνάγκαι συγκαταβεβλημέναι τῇ φύσει· ἀλλὰ τῇ ποιᾷ χρήσει τῆς προαιρέσεως ἢ ἀρετῆς ἢ κακίας ὄργανα τὰ τοιαῦτα τῆς ψυχῆς κινήματα γίνεται, καθάπερ ὁ σίδηρος κατὰ γνώμην τοῦ τεχνίτου τυπούμενος, πρὸς ὅπερ ἂν ἐθέλῃ τοῦ τεχνιτεύοντος ἡ ἐνθύμησις, πρὸς τοῦτο καὶ σχηματίζεται ἢ ξίφος ἤ τι γεωργικὸν ἐργαλεῖον γινόμενος. οὐκοῦν εἰ μὲν ὁ λόγος, ὃ δὴ τῆς φύσεως ἡμῶν ἐστιν ἐξαίρετον, τῶν ἔξωθεν ἡμῖν ἐπεισκριθέντων τὴν ἡγεμονίαν ἔχοι, καθὼς καὶ δι' αἰνίγματος ὁ τῆς γραφῆς παρεδήλωσε λόγος ἄρχειν ἐγκελευόμενος πάντων τῶν ἀλόγων, οὐκ ἄν τι πρὸς κακίας ὑπηρεσίαν τῶν τοιούτων κινημάτων ἡμῖν ἐνεργήσειε τοῦ μὲν φόβου τὸ ὑπήκοον ἐμποιοῦντος, τοῦ δὲ θυμοῦ τὸ ἀνδρεῖον, τῆς δειλίας δὲ τὴν ἀσφάλειαν, τῆς δὲ ἐπιθυμητικῆς ὁρμῆς τὴν θείαν τε καὶ

6–7 deus auctor malorum non est: Gen. 1,31; e.g. Greg. Nyss. Or. cat. 1 (GNO III,4) p. 10,14–15; 5 (GNO III,4) p. 20,8–9; e.g. Plat. Tim. 29a2–6 et 42d3–4, Rep. 379b15–c7; 627e4–5 8–43.16 cf. Greg. Nyss. Op. hom. 18 (PG 44) 192D–193C 8 ἡ ποιὰ χρῆσις: cf. supra p. 39,18 15–16 Gen. 1,26 et 28; interpretatio patrum, cf. [Auct. inc.] Creat. hom. I (GNO Suppl., p. 36,11 sqq.) cum app. test.

ABC ΛAW M ROΣE S 1 γενέσθαι M 2 μὴ om A ἐγγινομένη O 3 add ὡς ante ἀναγκαίως v καὶ om ΣE 4 τοῦτο O τούτων v 5 γενόμενα O λέγονται O πάντων O 6 τινι om O ἢ WO εἰ W^{2}M^{1} 7 ἔχει O ἔχῃ Lv εἶχεν AB εἰ: ex ἢ corr A ἢ LO ὡς M ἐκεῖθεν ante 8 ἦσαν coll M αἱ: ἡ A om M 8 post ἀνάγκαι add καὶ O 10 post καθάπερ add γὰρ M add τὴν ante γνώμην R γνώμην om O 11 ἐθέλῃ LRS: ἐθέλει ABO ἐθέλοι ΛW ἐθέλοιεν M (-εν fort del) θέλῃ CΣE ἔθετο v 12 τι om CO 13 γενόμενος O κινούμενος A ὃ: ὃς RO ὃ δὴ: ἤδη ὁ M et ἡμῶν et 14 ἡμῖν om v 15 ἔχει O 17 κινημάτων om C 18 ὑπείκειν R ὑπήκειν O 19 δὲ pr post 18 τῆς coll RO

ἀκήρατον ἡμῖν ἡδονὴν προξενούσης· εἰ δὲ ἀποβάλοι τὰς ἡνίας ὁ λόγος καὶ οἷόν τις ἡνίοχος ἐμπλακεὶς τῷ ἅρματι κατόπιν ὑπ' αὐτοῦ σύροιτο ἐκεῖ ἀπαγόμενος ὅπουπερ ἂν ἡ ἄλογος κίνησις τῶν ὑπεζευγμένων φέρῃ, τότε εἰς πάθος αἱ ὁρμαὶ καταστρέφονται, οἷον δὴ καὶ ἐν τοῖς ἀλόγοις ἔστιν ἰδεῖν· ἐπειδὴ γὰρ οὐκ ἐπιστατεῖ λογισμὸς τῆς φυσικῶς αὐτοῖς ἐγκειμένης κινήσεως, τὰ μὲν θυμώδη τῶν ζῴων ἐν ἀλλήλοις φθείρεται τῷ θυμῷ στρατηγούμενα, τὰ δὲ πολύσαρκά τε καὶ δυνατὰ εἰς οὐδὲν οἰκεῖον ἀγαθὸν ἀπώνατο τῆς δυνάμεως κτῆμα τοῦ λογικοῦ διὰ τὴν ἀλογίαν γινόμενα ἥ τε τῆς ἐπιθυμίας καὶ τῆς ἡδονῆς ἐνέργεια περὶ οὐδὲν τῶν ὑψηλῶν ἀσχολεῖται οὔτε ἄλλο τι τῶν ἐν αὐτοῖς θεωρουμένων λόγῳ τινὶ πρὸς τὸ λυσιτελοῦν διεξάγεται. οὕτως καὶ ἐν ἡμῖν εἰ μὴ πρὸς τὸ δέον ἄγοιτο ταῦτα διὰ τοῦ λογισμοῦ, ἀλλ' ἐπικρατοίη τῆς τοῦ νοῦ δυναστείας τὰ πάθη, πρὸς τὸ ἄλογόν τε καὶ ἀνόητον μεταβαίνει ὁ ἄνθρωπος ἀπὸ τοῦ διανοητικοῦ τε καὶ θεοειδοῦς τῇ ὁρμῇ τῶν
64 M τοιούτων παθη|μάτων ἀποκτηνούμενος.

Ἐγὼ δὲ σφόδρα περὶ τὰ εἰρημένα διατεθείς, Ἀρκεῖ μέν, ἔφην, παντὶ τῷ γε νοῦν ἔχοντι ψιλῶς οὑτωσὶ καὶ ἀκατασκεύως δι' ἀκολούθου προελθὼν ὁ λόγος εὖ ἔχειν δόξαι καὶ μηδαμοῦ παρεσφάλθαι

1–4 cf. Plat. Phaedr. 246a6 sqq. et 253e1 sqq.; at supra p. 33,14; et forte Greg. Nyss. Vit. Moys. (GNO VII,1) p. 71,3–19 (Exod. 14,7 et 15,4), cf. Virg. 22 (GNO VIII,1) p. 332,15–23 18 spectat ad p. 34,20–21 (ἀκατάσκευόν τε καὶ γυμνὸν); παντὶ τῷ γε νοῦν ἔχοντι imit. Plat., cf. e.g. Phaed. 62e3; Phaedr. 274a1

ABC ΛΑW M ROΣE S 1 ἡδονὴν ἡμῖν coll B ἀποβάλλοι AWM ἀποβάλλῃ RO (-ει) 3 ὅποιπερ Λ 3–4 τὸν ὑπεζευγμένον W² ὑπεζευγμένων M 4 φέρει LWv πάθη S μεταστρέφονται RO 5 οἷα O δή: δεῖ B ἐν: ἐπὶ v ἐπεὶ v 6 λογισμὸς τῆς: λογισμοῖς τοῖς v φυσικῆς B ἐγκειμένοις M (sed corr) O ἐγκωμιαζομένης v 7 φθείρεται: φέρεται ΣE 8 ἀγαθῶν W (sed corr) 9 γενόμενα RO (ex γιν-) ἥ: εἴ O 11 ἀσχολοῦται v οὐδὲ M ἐν ἑαυτοῖς E 12 ἐν om RO 13 ἐπικρατείῃ RO ἐπικρατεῖ A 14 μεταβαίνων v 15 τε om v 16 τοιούτων om E ἀποκτινούμενος (sscr ει) C 17 post δὲ add καὶ Lv διαθεὶς O ἀρκεῖ ROv: ἀρκεῖν cett μὲν om Λ 18 οὕτως εἰ CE οὕτως ABΛR ἀκατάσκευος E ἀκατασκευάστως O 18–19 add ἃ ante διακολουθίας sic M 19 δόξει C δοξη O δόξειν R

τῆς ἀληθείας· ἐπεὶ δὲ τοῖς μὲν τὰς τεχνικὰς ἐφόδους μεμελετηκόσι τῶν ἀποδείξεων ὁ συλλογισμὸς ἱκανὸς εἰς πίστιν δοκεῖ, ἡμῖν δὲ πάντων τῶν τεχνικῶν συμπερασμάτων ἀξιοπιστότερον εἶναι ὁμολογεῖται τὸ διὰ τῶν ἱερῶν τῆς γραφῆς διδαγμάτων ἀναφαινόμενον, ζητεῖν οἶμαι δεῖν ἐπὶ τοῖς εἰρημένοις, εἰ ἡ θεόπνευστος διδασκαλία συμφέρεται.

Ἡ δέ, Καὶ τίς ἂν ἀντείποι, φησί, μὴ οὐχὶ ἐν τούτῳ μόνῳ τὴν ἀλήθειαν τίθεσθαι, ᾧ σφραγὶς ἔπεστι τῆς γραφικῆς μαρτυρίας; οὐκοῦν εἰ χρή τι καὶ τῆς τοῦ εὐαγγελίου διδασκαλίας πρὸς τὴν τοῦ δόγματος τούτου συνηγορίαν παραληφθῆναι, οὐκ ἀπὸ καιροῦ γένοιτ' ἂν ἡμῖν τῆς παραβολῆς τῶν ζιζανίων ἡ θεωρία· ἔσπειρε γὰρ ἐκεῖ τὸ καλὸν σπέρμα ὁ οἰκοδεσπότης, ἡμεῖς δὲ πάντως ὁ οἶκός ἐσμεν, καθεύδοντας δὲ τοὺς ἀνθρώπους ἐπιφυλάξας ἐνέσπειρεν ὁ ἐχθρὸς τῷ τροφίμῳ τὸ ἄχρηστον αὐτῷ τῷ σίτῳ κατὰ τὸ μέσον ἐνθεὶς τὸ ζιζάνιον καὶ συνεβλάστησεν ἀλλήλοις τὰ σπέρματα· οὐ γὰρ ἦν δυνατὸν τὸ αὐτῷ τῷ σίτῳ ἐντεθὲν σπέρμα μὴ σὺν ἐκείνῳ βλαστῆσαι, κωλύει δὲ τοὺς ὑπηρέτας ὁ τῆς γεωργίας ἔφορος μὴ ἀποτίλλειν τὸ ἄχρηστον διὰ τὴν ἐν τῇ ῥίζῃ τῶν ἐναντίων συμφυΐαν, ὡς ἂν μὴ τῷ ἀλλοτρίῳ συνεκτιλείη τὸ τρόφιμον. τὰς γὰρ τοιαύτας τῆς ψυχῆς ὁρμὰς διὰ τῶν καλῶν σπερμάτων οἰόμεθα τὸν λόγον ἐνδείκνυσθαι, ὧν ἕκαστον, εἰ μόνον πρὸς τὸ ἀγαθὸν ἐγεωργεῖτο, τὸν

2–6 συμφέρεται: cf. infra p. 81,8 (συμφωνοῦντας) 10–19 Matth. 13,24–30; cf. Greg. Nyss. Cant. 2 (GNO VI) p. 59,9–10

ABC ΛΑW M ROΣE S 1 ἐπεὶ δέ: ἐπειδὴ Λ ἐπειδὴ δὲ WMR 2 ἱκανῶς O 3 ἀξιοπιστότερον: ἕξις πιστότερον v 3–4 ὡμολόγηται ΛOE ὡμολογεῖτο v 4 δογμάτων Λ 6 add τούτοῖς ante συμφέρεται v 7 Ἡ: εἰ A ἂν: om ΛWROΣES οὐχὶ om E μόνον W[1]M 8 τιθέσθω v ᾧ: ὡς ABCR ἐστι M post ἔπεστιν add ἐκ W (corr in ἐπέστη) ROΣE 12 σῖτος ex οἶκος S 15 συνεβλάστησαν ABLv 16 δυνατὸν ἦν coll R τό: τῷ ABW (corr W[2]) M τῷ om W (add W[2]) τὸ M ἐντεθέν: ἐντεῦθεν M 17 μὴ om RO 18 ἀντιτίλλειν E τό: τί O συμφυΐᾳ M 19 τὸ ἀλλότριον v συνεκτιλείη scripsit Polack cum Ath Lavras B 116: συνεκτιλλείη Λ -τελθείη Σ -ταλείη ABLW (sed corr) MS -ταλῇ RO (-αταλῆ) -ταλθείη E -ταλθῆι C -τίνει v 20 τοιαύτας ante ὁρμὰς coll A 21 ἐγεωργοίτο sic M

τῆς ἀρετῆς ἂν ἡμῖν καρπὸν πάντως ἐβλάστησεν. ἐπειδὴ δὲ παρε-
νεσπάρη τούτοις ἡ περὶ τὴν τοῦ καλοῦ κρίσιν διαμαρτία καὶ τὸ
ὄντως καὶ μόνον κατὰ τὴν ἰδίαν φύσιν καλὸν διὰ τοῦ συναναφυ-
έντος βλαστοῦ τῆς ἀπάτης ἐπεσκοτίσθη - τὸ γὰρ ἐπιθυμητικὸν οὐ
πρὸς τὸ τῇ φύσει καλόν, οὗ χάριν κατεσπάρη ἡμῖν, ἐφύη τε καὶ
ἀνέδραμεν, ἀλλὰ πρὸς τὸ κτηνῶδες καὶ ἄλογον τὸν βλαστὸν μετε-
65 M ποίησε τῆς περὶ τὸ καλὸν ἀκρισίας πρὸς τοῦτο |τὴν τῆς ἐπιθυμίας
ἐνεγκούσης ὁρμήν, ὡσαύτως καὶ τὸ τοῦ θυμοῦ σπέρμα οὐ πρὸς ἀν-
δρείαν ἐστόμωσεν, ἀλλὰ πρὸς τὴν τῶν ὁμοφύλων μάχην ἐξώπλισεν
ἥ τε τῆς ἀγάπης δύναμις τῶν νοητῶν ἀπέστη περὶ τὴν τῶν αἰσθη-
τῶν ἀπόλαυσιν πέρα τοῦ μέτρου ὑλομανήσασα καὶ τὰ ἄλλα κατὰ
τὸν αὐτὸν τρόπον τοὺς χείρονας βλαστοὺς ἀντὶ τῶν κρειττόνων
ἐξήνθησεν· τούτου χάριν ἀφίησιν ὁ σοφὸς γεωργὸς τὸ ἐμφυὲν τῷ
σπέρματι βλάστημα ἐν αὐτῷ εἶναι προμηθείᾳ τοῦ μὴ γυμνωθῆναι
τῶν κρειττόνων ἡμᾶς καθ' ὅλου τῆς ἐπιθυμίας τῷ ἀχρήστῳ βλαστῷ
συνεκριζωθείσης. εἰ γὰρ τοῦτο πάθοι ἡ φύσις, τί ἔσται τὸ ἐπαῖρον
ἡμᾶς πρὸς τὴν τῶν οὐρανίων συνάφειαν; ἢ τῆς ἀγάπης ἀφαιρεθεί-
σης τίνι τρόπῳ πρὸς τὸ θεῖον συναφθησόμεθα; τοῦ δὲ θυμοῦ κατα-
σβεσθέντος ποῖον ὅπλον κατὰ τοῦ προσπαλαίοντος ἕξομεν; ἀφίησι
τοίνυν τὰ νόθα τῶν σπερμάτων ἐν ἡμῖν ὁ γεωργὸς οὐχ ὡς εἰς ἀεὶ

8–19 cf. Plat. Rep. 375c1–2; 440b3–4.e4–6; 441a2–3 et e5–6; Bas. Caes. Or. 10,5–6 (PG 31) 364–369

ABC (inde a 7 περὶ deff foll 35) LΛW M ΡΟΣΕ S 1 ἂν: ἐν v καρπὸν ἡμῖν coll M ἐπειδὴ δὲ: ἐπεὶ δὲ CW ἐπειδὴ AB 1–2 παρενεσπάρη: γὰρ ἐνεσπάρη AB παρεσπάρη Λ[1] ἐνπαρεσπάρη M ἐνεσπάρη R τινες παρα O 2 δι' ἁμαρτίαν Lv διαμάρτησις S 3 ὄντος M[1] 3–4 συναφυέντος O 4 ἐπεσκοτίσθη LΛROv: -σκοτώθη ABS -σκοτήθη cett 5 τὸ om A τῇ om LWv add καὶ ante κατεσπάρη CΛMRO (κατεσπάρει) 7–86.4 περὶ ... ἐπὶ def cod C 7 ἀκρασίας ABΛ[1]W[1]M (sed corr) 8 μετενεγκούσης E ἐνεγκοῦσαν v 8–9 ἀνδρίαν Σ 10 τὴν om O 11 ὁλομανήσασα v τ'ἄλλα M κατὰ om Lv 13 ἐξήντησεν: η alt corr ex ï M vel M[2] ἀφίησιν post γεωργὸς coll A σοφὸς: καλὸς B τὸ: τῶ O 14 εἶναι ἐν αὐτῷ coll M 16 εἰ: ἡ O πάθη ROv εστι sic A 17 οὐρανῶν Λ[1]W ἐπουρανίων LROΣv add τὴν ante συνάφειαν M 17–18 ἀναιρεθείσης A 18–19 ἀποσβεσθέντος RO κατασκευασθέντος v 19 ἐφίησι v 20 ἐν ἡμῖν post τοίνυν coll WM εἰς: ἐς S om WO

κατακρατεῖν τῆς τιμιωτέρας σπορᾶς, ἀλλ' ὡς αὐτὴν τὴν ἄρουραν, οὕτω γὰρ τὴν καρδίαν τροπικῶς ὀνομάζει, διὰ τῆς ἐγκειμένης αὐτῇ φυσικῆς δυνάμεως, ἥτις ἐστὶν ὁ λογισμός, τὸ μὲν ξηρᾶναι τῶν βλαστημάτων, τὸ δὲ κάρπιμον καὶ εὐθαλὲς ἀπεργάσασθαι· εἰ δὲ μὴ τοῦτο γένοιτο, τῷ πυρὶ τὴν τῆς γεωργίας διάκρισιν ταμιεύεται. οὐκοῦν εἰ μέν τις τούτοις κατὰ τὸν δέοντα χρήσεται λόγον ἐν ἑαυτῷ λαμβάνων ἐκεῖνα καὶ μὴ αὐτὸς ἐν ἐκείνοις γινόμενος, οἷόν τις βασιλεὺς τῇ πολυχειρίᾳ τῶν ὑπηκόων συνεργῷ χρώμενος ῥᾷον κατορθώσει τὸ κατ' ἀρετὴν σπουδαζόμενον· εἰ δ' ἐπ' ἐκείνοις γένοιτο καθάπερ δούλων τινῶν ἐπαναστάντων τῷ κεκτημένῳ καὶ ἐξανδραποδισθείη ταῖς δουλικαῖς ἀπονοίαις ἀγεννῶς ὑποκύψας καὶ κτῆμα γένοιτο τῶν ὑπεζευγμένων κατὰ τὴν φύσιν αὐτῷ, πρὸς ἐκεῖνα κατ' ἀνάγκην μετατεθήσεται, πρὸς ἅπερ ἂν ἡ ἐπικράτησις τῶν καθηγουμένων βιάζηται. εἰ δὴ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, οὔτε ἀρετὴν οὔτε κακίαν ἐφ' ἑαυτῶν ταῦτα ἀποφανούμεθα, ὅσα κινήματα τῆς ψυχῆς ὄντα ἐπὶ τῇ ἐξουσίᾳ τῶν χρωμένων κεῖται ἢ καλῶς ἢ ὡς ἑτέρως ἔχειν, ἀλλ' ὅταν μὲν αὐτοῖς πρὸς τὸ κρεῖττον
68 M ἡ |κίνησις ᾖ, ἐπαίνων γίνεσθαι ὕλην ὡς τῷ Δανιὴλ τὴν ἐπιθυμίαν καὶ τῷ Φινεὲς τὸν θυμὸν καὶ τῷ καλῶς πενθοῦντι τὴν λύπην, εἰ δὲ πρὸς τὸ χεῖρον γένοιτο ἡ ῥοπή, τότε πάθη γίνεσθαι ταῦτα καὶ ὀνομάζεσθαι.

18–19 cf. supra p. 38,16–18

ΑΒ ΛΛW M RΟΣΕ S 1 post τὴν add αὐτὴν O 2 τροπικῶς post γὰρ coll ΣΕ αὐτῶ Α 3 φυσικῶς ΑΒ 6 χρήσαιτο WMRΣΕ χρήσαι τὸν O χρήσαι v 7 αὐτῷ v λαμβάνηται v γενόμενος ΒΛ^{1}ΣΕ om v add ἀλλ' ante οἷόν LMROv 8 add εἴ ante τις O 9 ἐπ' om v 10 τινῶν om O 11 ἐξανδραποδισθείη: ἐξ ὧν δραποδισθείη v add καὶ ante ταῖς ABW ἀπονόιαις ΛΜ (ante corr) ΣΕ: ὑπονοίαις Μ (post corr) RO ἐπινοίαις ABLSv ἐννοίαις W ἀγενῶς BMO ὑποκύψειεν WM ὑποκύψαι v 12 ὑπεζευγμένων post φύσιν coll RO 13 ἐκεῖ O 14 καθημένων O βιάζοιτο O βιάζεται ABLWEv εἰ δὴ: ἤδη O δὴ: δὲ ABLWMSv 15 οὔτ' (pr) M κακίαν οὔτε ἀρετὴν coll E ἀποφαινούμεθα MO 16 τῆς om RO ὄντα om M 17 ὡς om Ov 18 τῷ: τὸ R 20–21 γίνεται ... ὀνομάζεται AB

Ἐγὼ δὲ ταῦτα διεξελθούσης, ἐπειδὴ παυσαμένη βραχύ τι ἔδωκε τῷ λόγῳ διαλιπεῖν καὶ συνελεξάμην τῇ διανοίᾳ τὰ εἰρημένα, πάλιν ἐπὶ τὴν προτέραν ἀνέδραμον ἀκολουθίαν τοῦ λόγου, ἐν ᾧ κατεσκευάζετο μὴ ἀδύνατον εἶναι τὴν ψυχὴν διαλυθέντος τοῦ σώματος ἐν τοῖς στοιχείοις εἶναι, καὶ τοῦτο εἶπον πρὸς τὴν διδάσκαλον· Ποῦ ἐκεῖνο τὸ πολυθρύλητον τοῦ Ἅιδου ὄνομα, πολὺ μὲν ἐν τῇ συνηθείᾳ τοῦ βίου, πολὺ δὲ ἐν ταῖς συγγραφαῖς ταῖς τε ἔξωθεν καὶ ταῖς ἡμετέραις περιφερόμενον, εἰς ὃ πάντες οἴονται καθάπερ εἴς τι δοχεῖον ἐνθένδε τὰς ψυχὰς μετανίστασθαι; οὐ γὰρ ἂν τὰ στοιχεῖα τὸν Ἅιδην λέγοις.

Καὶ ἡ διδάσκαλος, Δῆλος εἶ, φησί, μὴ λίαν προσεσχηκὼς τῷ λόγῳ· τὴν γὰρ ἐκ τοῦ ὁρωμένου πρὸς τὸ ἀειδὲς μετάστασιν τῆς ψυχῆς εἰποῦσα οὐδὲν ᾤμην ἐλλελοιπέναι εἰς τὸ περὶ τοῦ Ἅιδου ζητούμενον. οὐδὲ γὰρ ἄλλο τί μοι δοκεῖ παρά τε τῶν ἔξωθεν καὶ παρὰ τῆς θείας γραφῆς τὸ ὄνομα τοῦτο διασημαίνειν, ἐν ᾧ τὰς ψυχὰς γίνεσθαι λέγουσι, πλὴν τὴν εἰς τὸ ἀφανές τε καὶ ἀειδὲς μεταχώρησιν.

3–5 cf. supra p. 28,13–21 6 Hades cf. infra l. 14–17 9 ἐνθένδε … μετανίστασθαι: cf. e.g. Plat. Phaed. 117c2–3, Apol. 40c7–9 12 cf. supra p. 31,14 14 οἱ ἔξωθεν: e.g. Plat. Phaed. 80d5–7 et 81c11; Crat. 403a5–8; Gorg. 493b4–5; locus communis cf. Meissner, p. 291 ann. 28. 15 ἡ θεία γραφή: incertum utrum Apoc. 20,13 (cf. Meth. Res. II 28,5 (ed. Bonwetsch, p. 385,17–386,2)) an alibi (e.g. infra p. 62,21–63,7 ad Luc. 16,19–31)

AB ΛΛW M ROΣE S 1 δὲ om v παυσαμένης O 2 ἔδωκα O διαλειπεῖν LΛO συνεξελεξάμην Λ 3 διέδραμον v om O τοῦ λόγου ἀκολουθίαν coll Λ 4 ᾧ: ᾗ M κατασκευάζετο M 5 ἐν om RO τοῖς om O 5–6 εἶπον post διδάσκαλον coll ΣES 6 πολυθρύλητον BLWMΣE: πολυθρύλλητον W² cett v add ὁ ante πολὺ WM (ὃ) 8 εἴς τι om LSv 9 τὰ om MRO 11 ἡ: εἰ A διδάσκαλος om AB εἶ: ᾖ v φησί post διδάσκαλος coll O om AB λίαν: δειλίαν O 13 ἐλλελειπέναι O καταλελοιπέναι Λ ἀπολελοιπέναι v εἰς om RO τὸ: τὸν M 14 οὐδὲν v οὐ M γὰρ om v παρά: περὶ O 14–15 τε … παρὰ om O 15 παρὰ om AB 16 λέγουσι γίνεσθαι coll R τὴν om LMOv ἀειδές τε καὶ ἀφανὲς coll WMRv (om τε) 17 μεταχώρησιν: μετέχουσιν v

Καὶ πῶς, εἶπον, τὸν ὑποχθόνιον χῶρον οἴονταί τινες οὕτω λέγεσθαι ἐν ἑαυτῷ κἀκεῖνον τὰς ψυχὰς πανδοχεύειν καθάπερ τι χώρημα τῆς τοιαύτης φύσεως δεκτικὸν τὰς ἀποπτάσας ἤδη τῆς ἀνθρωπίνης ζωῆς πρὸς ἑαυτὸν ἐφελκόμενον;

Ἀλλ' οὐδὲν μᾶλλον, φησὶν ἡ διδάσκαλος, τὸ δόγμα διὰ τῆς ὑπονοίας ταύτης παραβλαβήσεται· εἰ γὰρ ἀληθὴς ὁ λόγος ὁ κατὰ σέ, τὸ συνεχῆ τε πρὸς ἑαυτὸν καὶ ἀδιάσπαστον εἶναι τὸν οὐράνιον πόλον τῷ ἰδίῳ κύκλῳ πάντα ἐμπεριέχοντα καὶ ἐν τῷ μέσῳ τὴν γῆν καὶ τὰ περὶ αὐτὴν αἰωρεῖσθαι καὶ πάντων τῶν κυκλοφορουμένων τὴν κίνησιν περὶ τὸ ἑστὼς καὶ πάγιον γίνεσθαι, ἀνάγκη πᾶσα, φησίν, ὅ τι περ ἂν ἐκ τῶν στοιχείων ᾖ κατὰ τὸ ἄνω τῆς γῆς μέρος, τοῦτο καὶ κατὰ τὸ ἀντικείμενον εἶναι μιᾶς καὶ τῆς αὐτῆς οὐσίας ὅλον αὐτῆς τὸν ὄγκον ἐν κύκλῳ περιθεούσης. καὶ ὥσπερ ὑπὲρ
69 M γῆς τοῦ ἡλίου φανέντος ἐπὶ τὸ ὑποκείμενον αὐτῆς στρέφεται ἡ | σκιά, τοῦ σφαιροειδοῦς σχήματος οὐ δυναμένου κατὰ ταὐτὸν ἐν

1 ὁ ὑποχθόνιος χῶρος: cf. e.g. Plat. Phaed. 111c4–114c8; Phil. 2,10; Luc. 16,19–31; Tertul. An. 55,1–2 et Waszink, Tertullian, ad loc. 6–49.8 cf. e.g. Cleom. Cael. II 5 (ed. Todd, p. 72,15–19); II 6 (ed. Todd, p. 77,20–21); I 1 (ed. Todd, p. 9,224–226); opinio communis cf. Gronau, Poseidonius, p. 265 ann. 1; ut *thesis* rhetorica cf. e.g. Cic De or. II 15,76; Hermog. Progym. 11 (ed. Rabe, p. 25,7–8); at Cant. 10 (GNO VI) p. 300,9 sqq.

AB LΛW M ROΣE S 1 οἴονται: ὄνται M (sscr οἰ) οἷόν τε O οὕτω om O 2 ἐν ἑαυτῷ κἀκεῖνον Λ (κἀκεῖνο) W (αὐτῶ) M: ἐν αὐτῶ κἀκεῖνον E ἐν αὐτῶ κἀκείνων LΣv (add καὶ ante ἐν) κἀκεῖνον ἐν αὐτῶ ABW² (αὐτῶ) S καὶ ἐν αὐτῶ κακεῖνον καὶ RO 3 ἀποστάσας S 4 ἑαυτὴν O 5 διὰ om R 5–6 ταῖς ὑπονοίαις ταύταις R 6 βλαβήσεται S εἰ γὰρ: εἴπερ E κἂν v 7 τὸ ABΛWΣ: τῶ E καὶ τὸ M καὶ RO εἰ γὰρ v om LS τε: γὰρ E 8 πάντα om M περιέχοντα M 9 ἑαυτὴν AR αἰωρεῖσθαι RΣSv: ἑωρεῖσθαι ABLO θεωρεῖσθαι ΛWE ἐνθεωρεῖσθαι M πάντως v τῶν om v 10 ἑστὸς ABE καὶ om B 11 post ἂν add ἑκάστῳ LMOv add ἑκάστου R ἐκ om MRO ἐκ τῶν difficile lectu Σ μέρος τῆς γῆς coll AB 12 καὶ pr om LΣv καὶ alt om v αὐτῆς om v 12–13 οὐσίας ὅλον αὐτῆς om A 14 γῆς: γῆν ROΣES om v ὑπὸ τὸ ἐπικείμενον E αὐτῆς στρέφεται ROv: αὐτῇ στρέφεται WM (αὐτὴ) S αὐτης τρέφεται L αὐτῆς τρέπεται ABΣE αὐτῇ φαίνεται Λ 15 κατ' αὐτὸν Rv

κύκλῳ διαληφθῆναι τῇ τῆς ἀκτῖνος περιβολῇ, ἀλλὰ κατὰ πᾶσαν ἀνάγκην, καθ' ὅπερ ἂν τῆς γῆς μέρος προσβάλη ταῖς ἀκτῖσιν ὁ ἥλιος κατά τινος κέντρου πάντως ἐπὶ τῆς σφαίρας γινόμενος, πρὸς τὴν εὐθεῖαν διάμετρον κατὰ τὸ ἕτερον πέρας σκότος ἔσται καὶ οὕτω κατὰ τὸ διηνεκὲς τῷ ἡλιακῷ δρόμῳ ἐπὶ τὸ ἀντικείμενον τῇ τῆς ἀκτῖνος εὐθείᾳ συμπεριοδεύει τὸ σκότος, ὥστε κατὰ τὸ ἴσον τόν τε ὑπέργειον καὶ τὸν ὑπόγειον τόπον ἀνὰ μέρος γίνεσθαι ἐν φωτί τε καὶ σκότῳ· οὕτως εἰκὸς καὶ τὰ ἄλλα πάντα, ὅ τι περ ἂν στοιχειωδῶς ἐν τῷ καθ' ἡμᾶς ἡμισφαιρίῳ τῆς γῆς θεωρῆται, τὸ αὐτὸ καὶ περὶ τὸ ἕτερον εἶναι μὴ ἀμφιβάλλειν. μιᾶς δὲ καὶ τῆς αὐτῆς οὔσης κατὰ πᾶν τῆς γῆς μέρος τῆς τῶν στοιχείων περιβολῆς οὔτε ἀντιλέγειν οὔτε συναγορεύειν οἶμαι δεῖν τοῖς περὶ τούτων ἐνισταμένοις, ὡς δέον ἢ τοῦτον ἢ τὸν καταχθόνιον τόπον ἀποτετάχθαι οἴεσθαι ταῖς τῶν σωμάτων ἐκλυθείσαις ψυχαῖς· ἕως γὰρ ἂν μὴ παρακινοίη τὸ προηγούμενον δόγμα ἡ ἔνστασις περὶ τοῦ εἶναι μετὰ τὴν ἐν σαρκὶ ζωὴν τὰς ψυχάς, οὐδὲν περὶ τόπου ὁ ἡμέτερος λόγος διενεχθήσεται μόνων σωμάτων ἴδιον εἶναι τὴν ἐπὶ τόπου θέσιν καταλαμβάνων, ψυχὴν δὲ ἀσώματον οὖσαν μηδεμίαν ἀνάγκην ἔχειν ἐκ φύσεως τόποις τισὶν ἐγκατέχεσθαι.

16–19 cf. supra p. 30,1 sqq. et p. 30,12–15

AB ΛAW M(usque ad 14 σωμά[των) ROΣE S 1 διαλειφθῆναι Λ[1]W[1] διαφανῆναι O 2 προσβάλλῃ v προσβάλλει O 3 γενόμενος A πρὸς: ἐπὶ ΣE 4 διάμετρον om MRO 5 διηνεκῶς O τῆς om M 6 συμπεριοδεύσει Σ 7 καὶ τὸν ὑπόγειον om A 8 σκότει v εἰκῶς O τἄλλα E τἄλλα v στοιχειωδῶς post 9 γῆς coll Λ 9 θεωρῆται Λ[2]S: θεωρεῖται cett v 10 εἶναι om E δὲ om M (sed sscr) 11 πάντα AO post ἀντιλέγειν add καὶ O 13 δέον: δῆθεν MRO ἢ τοῦτον ἢ τὸν: ἢ τοῦτον ἢ ἐκεῖνον ROM[2] ἢ τὸν E om M καταχθόνιον τόπον LΣESv: τόπον καταχθόνιον M καταχθόνιον cett ὑποτετάχθαι O 14 ἂν om E 16 τὰς om O οὐδὲ Λ add τοῦ ante τόπου R 17 μόνον ABLOv ἰδίαν O 19 κατέχεσθαι W

Τί οὖν, εἶπον, εἰ τὸν ἀπόστολον ὁ ἀντιλέγων προβάλοιτο πᾶσαν λέγοντα τὴν λογικὴν κτίσιν ἐν τῇ τοῦ παντὸς ἀποκαταστάσει πρὸς τὸν τοῦ παντὸς ἐξηγούμενον βλέπειν· ἐν οἷς καὶ καταχθονίων μνημονεύει τινῶν δι᾽ ἐπιστολῆς πρὸς Φιλιππησίους εἰπών, ὅτι αὐτῷ Πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων;

Ἐπιμενοῦμεν τῷ δόγματι, φησὶν ἡ διδάσκαλος, κἂν ταῦτα λεγόντων ἀκούωμεν, περὶ μὲν τοῦ εἶναι τὴν ψυχὴν καὶ τὸν ἀντιλέγοντα σύμψηφον ἔχοντες, περὶ δὲ τόπου καθὼς ἐν τοῖς φθάσασιν εἴρηται οὐκ ἐνιστάμενοι.

Τοῖς οὖν ἐπιζητοῦσιν, εἶπον, τὴν ἀποστολικὴν ἐν τῇ φωνῇ ταύτῃ διάνοιαν τί ἂν τις εἴποι, εἴπερ τῆς τοπικῆς σημασίας ἀποκινοίη τὴν λέξιν;

Ἡ δέ, Οὔ μοι δοκεῖ, φησίν, ὁ θεῖος ἀπόστολος τοπικῶς τὴν νοερὰν διακρίνων οὐσίαν τὸ μὲν ἐπουράνιον, τὸ δὲ ἐπίγειον, τὸ δὲ καταχθόνιον ὀνομάσαι, ἀλλ᾽ ἐπειδὴ τρεῖς τῆς λογικῆς φύσεώς εἰσι καταστάσεις, ἡ μὲν ἐξ ἀρχῆς τὴν ἀσώματον λαχοῦσα ζωήν, ἣν ἀγγελικὴν 72 M ὀνομάζομεν, ἡ δὲ πρὸς τὴν σάρκα |συμπεπλεγμένη, ἣν ἀνθρωπίνην φαμέν, ἡ δὲ διὰ θανάτου τῶν σαρκῶν ἀπολελυμένη· ὅπερ ἐν ψυχαῖς θεωρεῖται, τοῦτο οἶμαι τῷ βάθει τῆς σοφίας βλέποντα τὸν θεῖον ἀπόστολον πασῆς τῆς λογικῆς φύσεως τὴν ἐν τῷ ἀγαθῷ ποτε γενησομένην συμφωνίαν ἀποσημαίνειν ἐπουράνιον μὲν καλοῦντα

2 ἡ τοῦ παντὸς ἀποκατάστασις: theologoumenon cf. infra p. 77,11–14; cf. e.g. Greg. Nyss. Tunc et ipse (GNO III,2) p. 17,13–21; Inscr. II 14 (GNO V) p. 155,10–14; Or. cat. 26 (GNO III,4) p. 67,7–13: cf. Orig Princ III 6,3 (ed. Koetschau, p. 283,14–285,7) 5 Phil. 2,10 8 ἐν τοῖς φθάσασιν: supra p. 49,16 15–16 ἐπειδὴ τρεῖς … καταστάσεις: cf. Orig. Princ. I 5 19–20 cf. Rom. 11,33

AB ΛΑW ROΣE S 1 εἶπον om R προβάλλοιτο Lv 2 λέγων τῇ λογικῇ O 3 τὸν: τὴν ΛO ἐξημμένον S καὶ om Lv 4 τινῶν om RO αὐτοῦ O 5 καὶ pr om BΛΣ καὶ alt om ΛΣ 7 ἀκούοιμεν ABLΣS μὲν: μέντοι Lv 8 δὲ om v τόπου: τὸ ποῦ W τοῦ ποῦ S τοῦ τόπου RO φθάσεσιν O 10 post τὴν add αὐτὴν ΣE 11 εἴπῃ v εἴπερ: περὶ RO ἀποκινοίης LWv 15 εἰσι: εἰ μὴ L 16 ἡ μὲν: ἡμῖν LV λαχοῦσαι v ἔχουσα A 17 συμπεπλεγμένην (ἣν om) Lv 18 θανάτον E[2] 19 τούτω EO τὸ βαθος A

τὸ ἀγγελικὸν καὶ ἀσώματον, ἐπίγειον δὲ τὸ συμπεπλεγμένον τῷ σώματι, καταχθόνιον δὲ τὸ διακεκριμένον ἤδη τοῦ σώματος ἢ εἰ δή τις καὶ ἄλλη παρὰ τὰ εἰρημένα φύσις ἐν λογικοῖς θεωρεῖται, ἣν εἴτε δαίμονας εἴτε πνεύματα εἴτε ἄλλο τι τοιοῦτον ἐθέλοι τις κατονομάζειν οὐ διοισόμεθα. πεπίστευται γὰρ ἔκ τε τῆς κοινῆς ὑπολήψεως καὶ ἐκ τῆς τῶν γραφῶν παραδόσεως εἶναί τινα φύσιν ἔξω τῶν τοιούτων σωμάτων ὑπεναντίως πρὸς τὸ καλὸν διακειμένην καὶ βλαπτικὴν τῆς ἀνθρωπίνης ζωῆς, ἑκουσίως τῆς κρείττονος λήξεως ἀπορρυεῖσαν καὶ τῇ ἀποστάσει τοῦ καλοῦ τὸ ἐκ τοῦ ἐναντίου νοούμενον ἐν ἑαυτῇ ὑποστήσασαν, ἥνπερ φασὶ καταχθονίοις ἐναριθμεῖν τὸν ἀπόστολον τοῦτο ἐν ἐκείνῳ τῷ λόγῳ σημαίνοντα, ὅτι τῆς κακίας ποτὲ ταῖς μακραῖς τῶν αἰώνων περιόδοις ἀφανισθείσης οὐδὲν ἔξω τοῦ ἀγαθοῦ καταλειφθήσεται, ἀλλὰ καὶ παρ' ἐκείνων ὁμόφωνος ἡ ὁμολογία τῆς τοῦ Χριστοῦ κυριότητος ἔσται. τούτων οὖν οὕτως ἐχόντων οὐκέτ' ἄν τις ἡμᾶς ἀναγκάζοι τῷ τῶν καταχθονίων ὀνόματι τὸν ὑπόγειον ἐννοεῖν χῶρον ἐπ' ἴσης τοῦ ἀέρος

4 δαίμονες: cf. e.g. Orig. Princ. I 5,2 (ed. Koetschau, p. 70,24–27) 6 ἐκ τῆς τῶν γραφῶν παραδόσεως: cf. e.g. Matth. 13,39; cf. Orig. Princ. I 5,2 (ed. Koetschau, p. 70,7–15) 9 ἀπορρυεῖσαν: cf. infra p. 89,1 (ἀπορρυεῖσα) et Plat. Phaedr. 246d4 11–14 scil. ἡ ἀποκατάστασις: e.g. Or. cat. 26 (GNO III,4) p. 67,7–13; cf. e.g. Orig. Contra Cels. VIII 72 (ed. Koetschau, p. 289,11 sqq.) 12 ταῖς μακραῖς ... περιόδοις: cf. Plat. Phaed. 107e4; infra p. 122,5; e.g. Greg. Nyss. Or. cat. 26 (GNO III,4) p. 67,7–8 13–14 Phil. 2,11

AB ΛΛW ROΣE S 1 τὸ pr: τὸν O post τὸ unam litt eras W τὸ alt: τὸν O om Λ[1] 2 διακεκρυμμένον v ἢ om ΣES εἰ om Ov δή: δέ ΣES 3 παρὰ: περὶ O λογισμοῖς E λογικῇ v 4 ἄλλο om ΛΛW ἄλλο τι om v 5 διοισώμεθα O πιστεύεται ΛS τε om RO 7 σωμάτων delendum censuit Jaeger 8–9 λήξεως: ὑπολήψεως v 10 ἐν αὐτῇ Av φησιν A ante καταχθονίοις add καὶ E add ἐν WRO 10–11 ἀριθμεῖν RO 11 τούτω B om R 13 καταληφθήσεται BO ἀπολειφθήσεται AS 14 ὁμοφώνως ABLS v ἡ om ΛΣE 15 οὖν om ABLW (sscr) v οὐκέτι ΛO οὐκ AE τις om O 16 νοεῖν O χώρων A ἐφίσης O ἐπίσης v 16–52.1 ἀέρος τη γῇ περικεχυμένου ἀπανταχόθεν (sic) coll RO

πανταχόθεν περικεχυμένου τῇ γῇ, ὡς μηδὲν αὐτῆς μέρος γυμνὸν τῆς περιβολῆς τοῦ ἀέρος καταλαμβάνεσθαι.

Ταῦτα δὲ διεξελθούσης τῆς διδασκάλου μικρὸν ἐπισχών, Οὔπω ἱκανῶς ἔχω, φημί, τοῦ ζητουμένου, ἀλλ' ἔτι μοι τοῖς εἰρημένοις ἐπιδιστάζει πως ἡ διάνοια καὶ δέομαι πάλιν ἐπαναχθῆναί μοι πρὸς τὴν αὐτὴν ἀκολουθίαν τὸν λόγον τῶν μὲν ἤδη συμβιβασθέντων ἡμῖν ἀπαλλαγέντα· μετρίως γὰρ οἶμαι διὰ τῶν εἰρημένων τοὺς μὴ λίαν ἀντιτύπως ἔχοντας ἐναχθήσεσθαι μὴ εἰς ἀναίρεσιν καὶ ἀνυπαρξίαν τὴν ψυχὴν μετὰ τὴν διάλυσιν τῶν σωμάτων ἄγειν μηδὲ κατασκευάζειν μηδαμοῦ δύνασθαι αὐτὴν ἐν τοῖς οὖσιν εἶναι διὰ τὸ ἑτεροφυῶς ἔχειν πρὸς τὴν τῶν στοιχείων οὐσίαν· κἂν μὴ συμβαίνῃ γὰρ τούτοις ἡ νοερά τε καὶ ἄϋλος φύσις, τὸ εἶναι ἐν αὐτοῖς οὐ κωλύεται διχόθεν ἡμῖν τῆς ὑπολήψεως ταύτης βεβαιουμένης ἔκ τε τοῦ νῦν ἐν τῇ ζωῇ ταύτῃ τὴν ψυχὴν ἐν τοῖς σώμασιν εἶναι ἄλλο τι παρὰ τὸ σῶμα κατὰ τὴν οὐσίαν ὑπάρχουσαν καὶ ἐκ τοῦ τὴν θείαν φύσιν ἀποδεῖ-
73 M ξαι |τὸν λόγον ἄλλο τι παντάπασιν οὖσαν τῆς αἰσθητικῆς τε καὶ ὑλικῆς οὐσίας ὅμως δι' ἑκάστου τῶν ὄντων διήκειν καὶ τῇ πρὸς τὸ πᾶν ἀνακράσει συνέχειν ἐν τῷ εἶναι τὰ ὄντα, ὡς διὰ τούτων κατὰ τὸ ἀκόλουθον μηδὲ τὴν ψυχὴν ἔξω τῶν ὄντων οἴεσθαι ἀπὸ τῆς ἐν εἴδει θεωρουμένης ζωῆς εἰς τὸ ἀειδὲς μεταστᾶσαν. ἀλλὰ πῶς, εἶπον, τῆς τῶν στοιχείων ἑνώσεως ἕτερόν τι διὰ τῆς πρὸς ἄλληλα μίξεως εἶδος ἀναλαβόντων, πρὸς ὃ τῆς ψυχῆς γέγονεν ἡ οἰκείωσις,

7–20 cf. supra p. 8,12–31,15 15–18 cf. supra p. 11,8–13,5 19–20 μετάστασις: cf. supra p. 47,12

AB ΛΛW ROΣE S 1 ἐπικεχυμένου ΣE αὐτῇ S 2 τῆς om S περιβολῇ S 3 δὲ ΛΛWv: om cett 5–6 καὶ δέομαι … μὲν: ἡ δέ, τῶν S et add φησὶν post 6 ἡμῖν 'Μακρίνα in marg) 6 τὸν λόγον τὸν μὲν ἤδη συμβιβασθέντα O 7 ἀπαλλαγέντων R μέτριον v 8 add εἰς ante ἀνυπαρξίαν ΣE 10 μηδαμῶς O ἑτεροφυὲς O ἑτεροειδῶς v 11 συμβαίνει ABWO 12 τὸ: τοῦ W[2] ἐν om v 14 ἀλλὄτι AO ἄλλὄτι LO 14–15 παρὰ … οὐσίαν om A sed corr 15 τὴν alt om E 16 ἀλλὄτι AO ἀλλ' ὅτι L 17 add καὶ post οὐσίας W δι': δὲ v 19 οἴεσθαι τῶν ὄντων coll RO 20 ζωῆς om Λ 21–22 τῆς τῶν στοιχείων ἑνώσεως … ἀναλαβόντων 'cum elementorum unitio … assumpserit' recte Sifanus interpres, cf. Kühner-Gerth[3] § 359,5 22 ὃ: ἃ ΛΛW v

ἐπειδὰν τῇ διαλύσει τῶν στοιχείων κατὰ τὸ εἰκὸς συναφανισθῇ καὶ τὸ εἶδος, τίνι σημείῳ κατακολουθήσει ἡ ψυχὴ μετὰ τοῦτο τοῦ ἐγνωσμένου μὴ παραμείναντος;

Ἡ δὲ μικρὸν ἐπισχοῦσα, Δεδόσθω μοι, φησί, κατ' ἐξουσίαν πλάσαι τινὰ λόγον ἐν ὑποδείγματι πρὸς τὴν τοῦ προκειμένου σαφήνειαν, κἂν ἔξω τοῦ δυνατοῦ δοκῇ τὸ λεγόμενον. δεδόσθω γὰρ δυνατὸν εἶναι τῇ τοῦ ζωγράφου τέχνῃ μὴ μόνον μιγνύειν ἐξ ἐναντίων τὰ χρώματα καθὼς ἔθος ποιεῖν αὐτοῖς πρὸς τὴν τῆς μορφῆς ὁμοιότητα, ἀλλὰ καὶ διακρίνειν τὰ μεμιγμένα καὶ τὴν κατὰ φύσιν πάλιν ἑκάστῳ τῶν χρωμάτων ἀποδιδόναι βαφήν· οὐκοῦν τὸ λευκὸν καὶ τὸ μέλαν ἢ τὸ ἐρυθρὸν καὶ τὸ χρυσοειδὲς ἢ εἴ τις ἄλλη βαφὴ πρὸς τὴν ὁμοιότητα τοῦ προκειμένου συγκίρναται, εἰ πάλιν ἀποκριθείη τῆς πρὸς τὸ ἕτερον μίξεως καὶ ἐφ' ἑαυτοῦ γένοιτο, οὐδὲν ἧττον γινώσκεσθαι ὑπὸ τοῦ τεχνίτου φαμὲν αὐτὸ τὸ εἶδος τοῦ χρώματος καὶ μηδεμίαν ἐγγίνεσθαι λήθην αὐτῷ μήτε τοῦ ἐρυθροῦ μήτε τοῦ μέλανος, εἰ ἑτερόχροα κατὰ τὴν πρὸς ἄλληλα μίξιν γενόμενα πάλιν εἰς τὴν κατὰ φύσιν ἐπανέλθοι βαφήν, μεμνημένον δὲ τοῦ τρόπου τῆς πρὸς ἄλληλα τῶν χρωμάτων συγκράσεως εἰδέναι, ποῖον ἐν τίνι γενόμενον οἷον ἀπειργάσατο χρῶμα καὶ ὅπως ἐκπλυθέντος

2–3 eadem quaestio: cf. Meth. Res. I 14,6 (ed. Bonwetsch, p. 238,2–7) 6–54.24 cf. Plat. Tim. 68d2–7; doctrinam Stoicam apud Iust. Res. Frg. 107 (ed. Holl, p. 43,201–210); Meth. Res. II 27,4 (ed. Bonwetsch, p. 384,17–20) 13–15 de animae facultate recognoscendi cf. Greg. Nyss. Op. hom. 27 (PG 44) 225B, D

AB ΛAW ROΣE S 1 post διαλύσει add τῆς ψυχῆς RO συναφανισθείη W 2 τοῦτο: τούτου O om v τοῦ om B 5 τοῦ om B 6 δοκεῖ O 7 ἐναντίου v 8 χρήματα O μορφῆς: γραφῆς B 10 τῶν χρωμάτων ἑκάστῳ coll S 11 τὸ ante χρυσοειδὲς O v: om cett 12 προκειμένου: προειρημένου E συγκιρνᾶται ES συγκρίνεται L v ἀποκριθείη: ἀνακρατείη B 13 τὸ om AB v ἑαυτοῦ: ἑτέρου v 14 αὐτῷ O 15 μὲ μίαν Ov ἐγγενέσθαι RO αὐτὸ A μηδὲ A 16 εἰ: ἢ O εἰ δὲ A ἑτερόχρωα Ov add τοῦ ante πρὸς v γινόμενα v 17 ἐπανέλθῃ Ov μεμνημένου Sv 18–19 εἰδέναι – ἀπειργάσατο om sed adscr in mg R 18 ποῖον: τί οἷον A τί τούτων S 19 ἔν τινι LOv γινόμενον LΛWΣES ἀπεργάσατο L add τὸ ante χρῶμα RO ἐκπλυθέντος: ἐπεκλυθέντος R ἐκπληθέντος O ἐκβληθέντος ἐκ τοῦ ἀπολυθῆναι Lv

τοῦ ἑτέρου πάλιν εἰς τὸ οἰκεῖον ἐπανέδραμεν ἄνθος καί, εἰ πάλιν δέοι διὰ τῆς μίξεως τὸ ἴσον ἐργάσασθαι, ἀπονωτέρα ἔσται αὐτῷ ἡ κατασκευὴ ἐν τῇ προλαβούσῃ δημιουργίᾳ μελετηθεῖσα. εἰ δέ τι ἀκόλουθον ἐν τῷ ὑποδείγματι, φησίν, ὁ λόγος ἔχει, ἐξεταστέον ἤδη ἡμῖν αὐτὸ τὸ προκείμενον· ἀντὶ γὰρ τῆς γραφικῆς τέχνης ἡ ψυχὴ προκείσθω τῷ λόγῳ καὶ ἀντὶ τῶν χρωμάτων τῆς τέχνης ἡ τῶν στοιχείων νοείσθω φύσις, ἡ δὲ μίξις τῆς ποικίλης τῶν ἑτεροχροούντων βαφῆς καὶ πάλιν ἡ δοθεῖσα ἡμῖν καθ' ὑπόθεσιν εἰς τὰ οἰκεῖα τούτων ἐπάνοδος τὴν συνδρομήν τε καὶ διάστασιν τῶν στοιχείων
76 M ὑπογρα|φέτω. ὥσπερ οὖν φαμεν ἐν τῷ ὑποδείγματι μὴ ἀγνοεῖν τὴν βαφὴν τοῦ χρώματος τὸν τεχνίτην μετὰ τὴν μίξιν πάλιν εἰς τὸ οἰκεῖον ἄνθος ἐπανελθοῦσαν, ἀλλ' ἐπιγινώσκειν τό τε ἐρυθρὸν καὶ τὸ μέλαν καὶ εἴ τι ἕτερον διὰ τῆς ποιᾶς πρὸς τὸ ἑτερογενὲς κοινωνίας τὴν μορφὴν ἀπειργάσατο, οἷον μὲν ἦν ἐν τῇ μίξει, οἷον δὲ νῦν ἐστιν ἐν τῷ κατὰ τὴν φύσιν γενόμενον, οἷον δὲ πάλιν ἔσται, εἰ ὁμοτρόπως αὖθις ἀλλήλοις ἀναμιχθείη τὰ χρώματα· οὕτως εἰδέναι τὴν ψυχὴν τῶν συνδραμόντων στοιχείων πρὸς τὴν τοῦ σώματος κατασκευὴν ᾧ ἐνεφύη καὶ μετὰ τὴν διάλυσιν αὐτῶν τὴν φυσικὴν ἰδιότητα. κἂν πόρρωθεν ἀπ' ἀλλήλων αὐτὰ ἡ φύσις ἀφέλκῃ διὰ τὰς ἐγκειμένας ἐναντιότητας ἕκαστον αὐτῶν τῆς πρὸς τὸ ἐναντίον ἐπιμιξίας ἀπείργουσα, οὐδὲν ἧττον παρ' ἑκάστῳ ἔσται τῇ γνωστικῇ δυνάμει τοῦ οἰκείου ἐφαπτομένη καὶ παραμένουσα, ἕως ἂν εἰς ταὐτὸν πάλιν ἡ τῶν διεστώτων γένηται συνδρομὴ πρὸς τὴν τοῦ διαλυθέντος ἀναστοιχείωσιν, ὅπερ ἀνάστασις κυρίως καί ἐστι καὶ ὀνομάζεται.

23–24 ἀνάστασις ut ἀναστοιχείωσις: cf. Greg. Nyss. Pulcher. (GNO IX) p. 472,11; Or. cat. 40 (GNO III,4) p. 102,21

AB ΛAW ROΣE S 1 τοῦ ἑτέρου ante 53,19 καὶ ὅπως coll Λ 2 δέοι post μίξεως coll S τὸ ἴσον διὰ τῆς μίξεως coll W 3 δέ: δή RO 4 add ὅ ante φησιν RO 5 γὰρ om O 5–6 ἡ ψυχὴ … τέχνης om W (sed adscr in mg) v 10 ἔφαμεν ΣS 11 τὴν om v 12 ἐπανελθοῦσαν ante 11 μετὰ coll Λ τε om AB 14 ἦν om v δὲ: καὶ v 15 τὴν om ROΣES γινομένῳ v οἷον δὲ: εἴδει RO ἔσται: γενέσθαι Λ om RO εἰ: εἰ δὲ A εἰ γε S ἵνα RO ὁμοιοτρόπως LROv 16 ἀναμιχθῇ BRO 18 ἐνεφύει O καὶ om A 19 αὐτὰ om O καθέλκει LO 22 ταὐτὸ Rv 23 τῶν: τῆς O καταλυθέντος ΛE 24 ἔσται v

Κἀγὼ εἶπον Ἀριστά μοι δοκεῖς κατὰ πάροδον συμμεμαχηκέναι τῷ λόγῳ τῆς ἀναστάσεως· δύνασθαι γὰρ ἂν διὰ τούτων ἠρέμα προσαχθῆναι τοὺς ἀπομαχομένους τῇ πίστει πρὸς τὸ μὴ οἴεσθαι τῶν ἀδυνάτων εἶναι πάλιν ἀλλήλοις συνελθεῖν τὰ στοιχεῖα καὶ τὸν αὐτὸν ἀπεργάσασθαι ἄνθρωπον.

Ναί, φησὶν ἡ διδάσκαλος, ἀληθὲς τοῦτο λέγεις· ἔστι γὰρ λεγόντων ἀκούειν τῶν πρὸς τὸν λόγον τοῦτον ἐνισταμένων, ὅτι εἰς τὸ πᾶν κατὰ τὸ συγγενὲς γινομένης τῶν στοιχείων τῆς ἀναχύσεως τίς μηχανὴ τὸ ἐν τῷδε θερμὸν ἐν τῷ καθ' ὅλου γενόμενον ἀμιγὲς τοῦ συγγενοῦς πάλιν ἀποκριθῆναι πρὸς τὸ συστῆναι τὸν ἀναπλασσόμενον ἄνθρωπον; εἰ γὰρ μὴ ἀκριβῶς τὸ ἴδιον ἐπανέλθοι, ἐκ δὲ τοῦ ὁμογενοῦς ἀντὶ τοῦ ἰδιάζοντός τι παραληφθείη, ἕτερον ἀνθ' ἑτέρου γενήσεται καὶ οὐκέτ' ἂν εἴη τὸ τοιοῦτον ἀνάστασις, ἀλλὰ καινοῦ ἀνθρώπου δημιουργία· εἰ δὲ χρὴ τὸν αὐτὸν εἰς ἑαυτὸν πάλιν ἐπανελθεῖν, δι' ὅλων εἶναι προσήκει τὸν αὐτὸν ἑαυτῷ πᾶσι τοῖς τῶν στοιχείων μέρεσι τὴν ἐξ ἀρχῆς ἐπαναλαμβάνοντα φύσιν.

Οὐκοῦν, εἶπον, αὐτάρκης ἡμῖν καὶ πρὸς ταύτην τὴν ἔνστασιν ἡ τοιαύτη περὶ τῆς ψυχῆς ἂν εἴη ὑπόληψις· τὸ οἷς ἐξ ἀρχῆς ἐνεφύη
77 M στοιχείοις, τούτοις καὶ μετὰ |τὴν διάλυσιν παραμένειν οἱονεὶ φύλακα τῶν οἰκείων καθισταμένην καὶ ἐν τῇ ἀνακράσει τῇ πρὸς τὸ

1–5 Greg. Nyss. Op. hom. 27 (PG 44) 225A 7 de oppugnantibus thesi idem corpus resurgere cf. e.g. Athenag. Res. II 3 (ed. Schoedel, p. 90) et XXV 3 (ed. Schoedel, p. 146); Orig. Contra Cels. V 14 (ed. Koetschau, p. 15,1–14); Meth. Res. I 14,1–17,2 (ed. Bonwetsch, p. 237,1–238,19); II 26 (ed. Bonwetsch, p. 382,16–383,19) 17–18 ad τοιαύτην ὑπόληψιν cf. supra p. 28,6–21

AB ΛAW ROΣE S 1 καὶ ἐγὼ Σ πάροδον: τὸ παρὸν L (sed πάροδον in mg) v 2 τῆς: τῷ περὶ S 6 Ναί: Καί v ἀληθῶς A 7 τούτων Σ 8 τῆς τῶν στοιχείων coll Λ ἀναλύσεως LOS v 9 γινόμενον W ἀναμιγὲς R συμμιγὲς B (συμ sscr m alt) L (sed ἀ sscr) v 10 add καὶ ante πρὸς O 10–11 ἀπαλλασόμενον LΛ¹R (-αλα-) v 11 ἐκ δὲ: ἐκεῖ O 12 ad τι supplendum putavit ἄλλο Sifanus (ἄλλό τι Ath Lawras B 116) παραλειφθείη AW (sed corr) O (sed corr) 13 οὐκέτι WRO v 15 ὅλον O ὅλου v ἑαυτοῖς v 16 ἐπαναλαμβάνοντα WR: ἀναλαμβάνοντα O ἐπαναλαβόντα cett v 17 add ὡς ante εἶπον v εἶπον om RO αὔταρκες O καὶ RO: ἡ AB om cett v 18 τὸ: τῷ E ἐνεφύει O 20 τῇ alt: τῆς O

ὁμόφυλον οὐ διαφιεῖσαν τὸ ἴδιον, ἐν τῷ λεπτῷ τε καὶ εὐκινήτῳ τῆς νοερᾶς δυνάμεως οὐδεμίαν ἐν τῇ λεπτομερείᾳ τῶν στοιχείων ὑπομένουσαν πλάνην, ἀλλὰ συνδιαδύεσθαι τοῖς ἰδίοις καταμιγνυμένοις πρὸς τὸ ὁμόφυλον καὶ μὴ ἀτονεῖν συνδιεξιοῦσαν αὐτοῖς, ὅταν πρὸς τὸ πᾶν ἀναχέωνται, ἀλλ' ἐν αὐτοῖς ἀεὶ μένειν, ὅποιπερ ἂν αὐτὰ καὶ ὅπως παρασκευάσῃ ἡ φύσις· εἰ δὲ γένοιτο πάλιν παρὰ τῆς τὸ πᾶν οἰκονομούσης δυνάμεως τοῖς διαλυθεῖσι πρὸς τὴν συνδρομὴν τὸ ἐνδόσιμον, τότε καθάπερ εἰ μιᾶς ἀρχῆς ἐξαφθεῖεν σχοῖνοι διάφοροι, ὁμοῦ καὶ κατὰ ταὐτὸν αἱ πᾶσαι τῷ ἐφελκομένῳ συνέπονται, οὕτως ἐν μιᾷ τῇ τῆς ψυχῆς δυνάμει τῆς τῶν στοιχείων διαφορᾶς ἑλκομένης ἀθρόως ἐν τῇ συνδρομῇ τῶν οἰκείων ἡ τοῦ σώματος ἡμῶν σειρὰ διὰ τῆς ψυχῆς συμπλακήσεται καταλλήλως ἑκάστου πάλιν πρὸς τὸ ἀρχαῖον καὶ σύνηθες πλεκομένου τε καὶ περιπτυσσομένου τὸ γνώριμον.

Ἀλλὰ καὶ τοῦτο τὸ ὑπόδειγμα, φησὶν ἡ διδάσκαλος, εἰκότως ἂν προστεθείη τοῖς ἐξητασμένοις εἰς ἀπόδειξιν τοῦ μὴ πολλὴν εἶναι τῇ ψυχῇ τὴν δυσκολίαν ἐν τοῖς στοιχείοις διακρίνειν τοῦ ἀλλοτρίου τὸ ἴδιον· προκείσθω γὰρ τῷ κεραμεύοντι πηλὸς καθ' ὑπόθεσιν, πολὺς δὲ οὗτος εἶναι δεδόσθω, οὗ τὸ μέν τι πρὸς τὴν τῶν σκευῶν

10–11 de imagine animae trahendae cf. Greg. Nyss. Op. hom. 27 (PG 44) 225C 18 corpus ut vas: Greg. Nyss. Or. cat. 8 (GNO III,4) p. 29,18–21; p. 31,9–21; Pulcher. (GNO IX) p. 472,2–10; Theoph. Ad Autolyc. 2,26; de figuli potestate: cf. Greg. Nyss. Sanct. Pasch. (GNO IX) p. 259,5–16; Athenag. Res. 9,1 (ed. Schoedel, p. 108); Meth. Res. I 43,5–44,2 (ed. Bonwetsch, p. 291,10–293,10); Jer. 18,3–6; Rom. 9,21

AB ΛAW ROΣE S 2 λεπτομερίᾳ LWv 3 συνδιαλύεσθαι LROv 5 αὐτῷ v ἂν om v αὐτὰ om O 6 ἡ φύσις παρασκευάσῃ coll ΣES παρὰ: περὶ O 7 οἰκονομουμένης S 8 τότε: τὸ E εἰ: ἐκ O add ἐξ ante ἀρχῆς A 9 κατ' αὐτὸν AOv αἱ πᾶσαι: ἅπασαι O συνέπωνται W 10 τῇ om ABΛW 10–11 ἐφελκομένης R 11 add συνέπονται ante ἀθρόως O 13 περιπλεκομένου E πλακουμένου v τε om v περιπτυσομένου S περιπτυσμένου O 15 τοῦτο om B εἰκότος W 16 προστεθῇ R ἐξισταμένοις AO εἰς: πρὸς Λ[1] 17 δυσκολίαν: διδασκαλίαν v add τοῦ ante διακρίνειν AS 18 προσκείσθω B 19 διδόσθω O τι: τοι v τῶν om O

ἀπεργασίαν ἤδη τετύπωται, τὸ δὲ μέλλει, τὰ δὲ σκεύη πάντα μὴ ὁμοειδῶς ἀλλήλοις διεσχηματίσθω, ἀλλὰ τὸ μὲν πίθος, τὸ δὲ ἀμφορεύς, ἕτερον δὲ πινάκιον ἢ τρυβλίον ἢ ἄλλο τι τῶν κατὰ τὴν χρῆσιν ἐπιτηδείων ἔστω, ταῦτα δὲ πάντα μὴ εἷς κεκτήσθω, ἀλλ' ἴδιος ἑκάστου δεσπότης ὑποκείσθω τῷ λόγῳ· οὐκοῦν ἕως ἂν συνεστήκῃ, ταῦτα φανερά τε τοῖς ἔχουσι γίνεται, κἂν συντριβείη πάλιν, οὐδὲν ἧττον γνώριμα καὶ ἀπὸ τῶν συντριμμάτων τοῖς κεκτημένοις ἔσται, τί μὲν τὸ ἐκ τοῦ πίθου, ποῖον δὲ τὸ ἐκ τοῦ ποτηρίου τρύφος ἐστίν· εἰ δὲ καὶ πρὸς τὸν ἀκατέργαστον καταμιχθείη πηλόν, πολὺ μᾶλλον ἀπλανὴς ἡ διάγνωσις τῶν ἤδη κατειργασμένων ἀπ' ἐκεί-
80 M νου γίνεται· οὕτως οἷόν |τι σκεῦος ὁ καθ' ἕκαστόν ἐστιν ἄνθρωπος ἐκ τῆς συνδρομῆς τῶν στοιχείων ἀπὸ τῆς κοινῆς ὕλης τετυπωμένος ἐν ἰδιάζοντι πάντως τῷ σχήματι πολλὴν πρὸς τὸ ὁμογενὲς τὴν διαφορὰν ἔχων· οὗ διαλυθέντος οὐδὲν ἧττον καὶ ἀπὸ τῶν λειψάνων ἡ κεκτημένη τὸ σκεῦος ψυχὴ τὸ οἰκεῖον ἐπιγινώσκει οὔτε ἐν τῇ κοινωνίᾳ τῶν συντριμμάτων, οὔτε εἰ πρὸς τὸ ἀκατέργαστον τῆς τῶν στοιχείων ὕλης καταμιχθείη, τοῦ οἰκείου ἀφισταμένη, ἀλλ' ἀεὶ ἐπισταμένη τὸ ἴδιον, οἷόν τε συνεστὼς ἐν τῷ σχήματι ἦν, καὶ μετὰ τὴν διάλυσιν ἐκ τῶν ἐναπομεινάντων σημείων τοῖς λειψάνοις οὐ πλανωμένη περὶ τὸ ἴδιον.

Ἀποδεξάμενος δὲ τὰ εἰρημένα ὡς προσφυῶς τε καὶ οἰκείως πρὸς τὸν προκείμενον εὑρεθέντα σκοπόν, Ταῦτα μὲν οὕτως, εἶπον,

11 ad vas cf. supra ad p. 56,18

AB ΛAW ROΣE S 1 ἐργασίαν ABW^{2}ΣES μέλει BE μέλλον v 2 ὁμοιειδῆ O διασχηματίσθω LS 3 τριβλίον Ov τὴν om W 4 πάντα om O μὴ εἷς: μηδεὶς A 5 ἰδίως E ἴδιον v δεσπότου v 5–6 συνεστήκῃ ABLWΣ: συνεστήκοι S συνεστήκει Ev συνέστηκε Λ συστήκῃ R συστήκει O 6 τε om ROΣES γίνεσθαι A συντριβῆ RO 7 οὐδὲ A γνώρισμα Λ^1 O καὶ om v 7–8 ἔσται ante τοῖς coll O 7 κεκτημένοις: ἔχουσι S 8 τί: τὸ v τοῦ alt om S 10 κατεργασμένων BO 11 οὕτως om Λ^1 12 τῆς alt om B 12–13 ἐντετυπωμένος LW ἀνατετυπωμένος v 17–18 ἀλλ' εἰ ἐπισταμένη om B 18 συνεστὼς post σχήματι coll AB (συνετῶς) συνεστὸς E 19 ἀπομεινάντων v 21 ἀποδειξάμενος O ἐπιδεξάμενος v

λέγεσθαί τε καὶ πιστεύεσθαι καλῶς ἔχει· εἰ δέ τις τὸ ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου περὶ τῶν ἐν ᾅδου διήγημα πρὸς τὰ εἰρημένα προφέροι ὡς οὐ συμβαῖνον τοῖς ἐξητασμένοις, πῶς χρὴ παρασκευάσασθαι πρὸς τὴν ἀπόκρισιν;

Ἡ δέ, Σωματικώτερον μέν, φησίν, ὁ λόγος ἐκτίθεται τὸ διήγημα, πολλὰς δὲ κατασπείρει τὰς ἀφορμάς, δι' ὧν εἰς λεπτοτέραν θεωρίαν ἐκκαλεῖται τὸν ἐξεταστικῶς ἐπαΐοντα· ὁ γὰρ χάσματι μεγάλῳ διείργων τὸ κακὸν ἐκ τοῦ κρείττονος σταγόνος τέ τινος διὰ δακτύλου κομιζομένης ἐπιδεᾶ ποιήσας τὸν ὀδυνώμενον καὶ πατριάρχου κόλπον τῷ διὰ τῆς ζωῆς ταύτης κεκακωμένῳ ὑποθεὶς εἰς ἀνάπαυσιν, πρὸ τούτων δὲ καὶ τὸ τεθνάναι αὐτοὺς καὶ ταφῇ δοθῆναι διηγησάμενος οὐ μικρῶς ἀφίστησι τῆς κατὰ τὸ πρόχειρον διανοίας τὸν μὴ ἀσυνέτως τοῖς λεγομένοις ἑπόμενον. ποίους γὰρ ὀφθαλμοὺς ἐπαίρει ἐν τῷ ᾅδῃ ὁ πλούσιος τοὺς τῆς σαρκὸς ἐναφεὶς τῷ τάφῳ; πῶς δὲ τῆς φλογὸς ἐπαισθάνεται τὸ ἀσώματον; ποίαν δὲ γλῶσσαν καταψυχθῆναι διὰ τῆς σταγόνος ἐπιθυμεῖ τῆς σαρκίνης αὐτῷ μὴ παρούσης; τίς δὲ ὁ διακομίζων αὐτῷ τὴν ῥανίδα δάκτυλος; αὐτὸς δὲ ὁ κόλπος τῆς ἀναπαύσεως τίς; τῶν γὰρ σωμάτων ἐν τάφοις ὄντων, τῆς δὲ ψυχῆς οὔτε ἐν σώματι οὔσης οὔτε ἐκ μερῶν συνεστώσης ἄπορον ἂν εἴη τὴν τοῦ διηγήματος διασκευὴν κατὰ τὸ

1–4 de scriptoribus Christianis parabolam ad corporalia referentibus cf. Tertul. An. 7 et Waszink, Tertullian, ad loc.; Alexandre, Luc, p. 431 1–2 cf. Luc. 16,19–31; cf. Alexandre, Luc, passim

AB ΛAW ROΣE S 1 add τε ante καλῶς O ἔχειν W τὸ: τῷ AW ἐν om RO 2 διηγημάτων R 3 προσφέροι Rv ἐξισταμένοις A (sed corr) 3–4 παρασκευάσθαι WO παρασκευάζεσθαι Λ² 5 Ἡ: εἰ O post Ἡ add διδάσκαλος Lv δέ: ἔφη L 5–6 τὸ διήγημα ἐκτίθεται coll O 7 ἐξεταστὴν v 8 post μεγάλῳ add μόνῳ W τέ: δέ RO 9 δακτύλῳ v (om διὰ) ἐπιδεᾶ ποιήσας: ἐπει δε ἀποήσας (sic) L 9–10 τὸν … κεκακωμένον S 10 κόλπῳ BS τῷ: τὸ B 11 εἰς om v τὸ καὶ τεθνάναι coll RO 12 διηγούμενος AB μικρὸς O τὸ om v 13 τὸν: τὸ BS μὴ om E συνετῶς ABΣES 14 ἐπαίρει post ᾅδῃ coll Λ ἐπάρας L ἀφεὶς L 15 τῆς om v ἐπαισθάνετο L ἐπησθάνετο RO ᾐσθάνετο v 16 add ζητεῖ ante διὰ S ἐπεθύμει RO om S 18 add τῶν ante ἐν O 20 κατασκευὴν AS

προχείρως νοούμενον ἐφαρμόσαι τῇ ἀληθείᾳ, εἰ μή τις μεταλάβοι τὰ καθ' ἕκαστον εἰς νοητὴν θεωρίαν, ὥστε χάσμα τὸ διεῖργον τῶν ἀμίκτων τὴν κοινωνίαν, μὴ γῆς διάστασιν οἴεσθαι· τῷ γὰρ ἀσωμάτῳ καὶ νοερῷ τίς πόνος διαπτῆναι τὸ χάσμα καὶ εἰ μήκιστον ἦν, διότι τὸ νοερὸν τῇ φύσει ἐν ᾧπερ ἂν ἐθέλῃ ἀχρόνως γίνεται;

81 M Τί οὖν ἂν εἴη, φημί, |τὸ πῦρ ἢ τὸ χάσμα ἢ τὰ λοιπὰ τῶν εἰρημένων, εἰ μὴ ἃ λέγεται;

Ἐμοὶ δοκεῖ, φησί, δόγματά τινα περὶ τῶν κατὰ τὴν ψυχὴν ζητουμένων δι' ἑκάστου τούτων ὑποσημαίνειν τὸ εὐαγγέλιον· προειπὼν γὰρ πρὸς τὸν πλούσιον ὁ πατριάρχης ὅτι ἀπέσχες τῷ διὰ σαρκὸς βίῳ τῶν ἀγαθῶν τὴν μοῖραν, καὶ περὶ τοῦ πτωχοῦ τὸ ἴσον εἰπών, ὅτι καὶ οὗτος ἀπέπλησε παρὰ τὸν βίον τῆς τῶν κακῶν μετουσίας τὴν λειτουργίαν, εἶθ' οὕτως ἐπαγαγὼν περὶ τοῦ χάσματος, ᾧ ἀπ' ἀλλήλων διατειχίζονται, μέγα τι δόγμα διὰ τούτων ἔοικεν ὑποδεικνύειν τῷ λόγῳ. τὸ δὲ δόγμα κατά γε τὸν ἐμὸν λόγον τοιοῦτόν ἐστι· μονοειδὴς ἦν τὸ κατ' ἀρχὰς ἡ τῶν ἀνθρώπων ζωή, μονοειδῆ δὲ λέγω τὴν ἐν μόνῳ τῷ ἀγαθῷ θεωρουμένην καὶ πρὸς τὸ κακὸν ἀνεπίμικτον· τὸν δὲ τοιοῦτον λόγον ὁ πρῶτος τοῦ θεοῦ νόμος μαρτύρεται, ὁ τοῦ παντὸς μὲν δοὺς τῶν ἐν τῷ παραδείσῳ καλῶν ἄφθονον τῷ ἀνθρώπῳ τὴν μετουσίαν, ἀπείργων δὲ μόνου ἐκείνου, ᾧ σύμμικτος ἦν ἐκ τῶν ἐναντίων ἡ φύσις, τοῦ κακοῦ πρὸς τὸ καλὸν συγκεκραμένου, θάνατον ἐπιθεὶς τῷ παρανομήσαντι τὴν ζημίαν· ἀλλ' ἑκουσίως

22 cf. Gen. 2,16–17 22–60.24 cf. Greg. Nyss. Beat. 4 (GNO VII, 2) p. 108,20–109,16 22–60.3 ἑκουσίως, ἀβουλία: theologoumenon cf. Greg. Nyss. Eccl. (GNO V) p. 301,3–303,11

AB ΛΛW ΡΟΣΕ S 1 νοούμενον om B μεταλάβῃ v μεταβάλοι ABS 5 τὸ om Λ[1] ἐθέλοι AB θέλῃ ΣΕ ἀχρόνως: ἀθρόως O ἀθρόνως R 6 τὸ χάσμα ἢ τὸ πῦρ coll S 7 εἰ: ἢ v post λέγεται add ἐστιν ΑΣΕS 8 τὴν om Wv 9–10 προσειπὼν AB 10 τῷ: τὸ B 11 τὴν ante τῶν coll O 12 καὶ om ΛΕ οὗτος: αὐτὸς E παρὰ: περὶ O τῆς om O 12–13 μετουσίας: μετανοίας B 13 τὴν om v λειτουργίας v ἐπάγων E ᾧ: ὡς v 14 διετειχίζοντο S τι om A δόγμα om v ἔοικεν ante διὰ coll S 16 μονοειδὲς v τὸ κατ' ἀρχὰς om Lv μονοειδὲς v δὲ: τε O 17 θεωρουμένην: ὁρωμένην v 18 δὲ om W μαρτυρεῖται Lv 20 μόνου δὲ coll B 21–22 συγκρεμμαμένου A 22 παρανομίσαντι AO

ὁ ἄνθρωπος ἐν τῷ αὐτεξουσίῳ κινήματι καταλιπὼν τὴν ἀμιγῆ τοῦ χείρονος μοῖραν τὴν ἐκ τῶν ἐναντίων σύγκρατον ζωὴν ἐπεσπάσατο. οὐ μὴν ἀφῆκεν ἡ θεία προμήθεια τὴν ἀβουλίαν ἡμῶν ἀδιόρθωτον, ἀλλ' ἐπειδὴ τοῖς παραβεβηκόσι τὸν νόμον ὁ κριθεὶς ἐπ' αὐτῷ θάνατος ἀναγκαίως ἐπηκολούθησε, διχῇ μερίσας τὴν ἀνθρωπίνην ζωὴν εἴς τε τὴν διὰ σαρκὸς ταύτην καὶ εἰς τὴν ἔξω τοῦ σώματος μετὰ ταύτην, οὐ κατὰ τὸ ἴσον μέτρον τοῦ διαστήματος, ἀλλὰ τὴν μὲν βραχυτάτῳ τινὶ τῷ χρονικῷ περιγράψας ὅρῳ, τὴν δὲ παρατείνας εἰς τὸ ἀΐδιον ἐξουσίαν ἔδωκεν ὑπὸ φιλανθρωπίας, ἐν ᾧ τις βούλεται τούτων ἑκάτερον ἔχειν, τό τε ἀγαθὸν λέγω καὶ τὸ κακόν, ἢ κατὰ τὸν βραχὺν τοῦτον καὶ ὠκύμορον βίον ἢ κατὰ τοὺς ἀτελευτήτους ἐκείνους αἰῶνας, ὧν πέρας ἡ ἀπειρία ἐστίν. ὁμωνύμως δὲ λεγομένου τοῦ τε ἀγαθοῦ καὶ τοῦ κακοῦ καὶ ἑκατέρου τούτων πρὸς διπλῆν ἔννοιαν μεριζομένου, πρὸς νοῦν τε λέγω καὶ αἴσθησιν, καὶ τῶν μὲν τοῦτο ἐν ἀγαθοῦ μοίρᾳ κρινόντων, ὅπερ ἂν ἡδὺ τῇ αἰσθήσει δόξῃ, τῶν δὲ μόνον τὸ κατὰ διάνοιαν θεωρούμενον πεπιστευκότων ἀγαθὸν καὶ εἶναι
84 M καὶ ὀνομάζεσθαι, οἷς μὲν ἀγύμναστός ἐστιν ὁ λογισμὸς καὶ |τοῦ βελτίονος ἀνεπίσκεπτος, οὗτοι ὑπὸ λαιμαργίας ἐν τῷ σαρκίνῳ βίῳ τὴν χρεωστουμένην τῇ φύσει τοῦ ἀγαθοῦ μοῖραν προαναλίσκουσιν οὐδὲν τῷ μετὰ ταῦτα βίῳ ταμιευόμενοι· οἱ δὲ λογισμῷ διακριτικῷ τε καὶ σώφρονι τὴν ἑαυτῶν οἰκονομοῦντες ζωὴν ἐν τῷ βραχεῖ τούτῳ βίῳ διὰ τῶν τὴν αἴσθησιν λυπούντων ἀνιαθέντες τῷ ἐφεξῆς αἰῶνι τὸ ἀγαθὸν ταμιεύονται, ὥστε αὐτοῖς τῇ ἀϊδίῳ ζωῇ τὴν κρείττω λῆξιν συμπαρατείνεσθαι. τοῦτο οὖν ἔστιν, ὥς γε ὁ ἐμὸς λόγος, τὸ χάσμα, ὃ οὐχὶ γῆς διασχούσης γίνεται, ἀλλ' ἡ παρὰ τὸν βίον κρίσις πρὸς τὰς ἐναντίας προαιρέσεις διασχισθεῖσα ποιεῖ· ὁ γὰρ ἅπαξ τὸ

4–5 cf. Gen. 2,16–17

AB ΛAW ROΣE S 1 ἐν om RO 4 αὐτῶν W αὐτοῖς RO 6 εἴς: εἴ A add ζωὴν post ταύτην S 8 τῷ χρονικῷ om O παρατείνας: παραγράψας A 9 εἰς: εἰ O 10 ἑκάτερον τούτων coll Λ 11 βραχὺ B 12 δὲ om LWO 15 ἀγαθῇ EO 15–16 μόνον τὸ: τῶν O 16 καὶ om LΛWΣEv 17 post μὲν add οὖν RO 18 λαιμαργίαν v 19 προσαναλίσκουσιν LW (ex corr) ES 20 add ἐν ante τῷ E διακριτικῶς A 21 βραχὺ O 23 ἀϊδίῳ: ἰδίᾳ O 24 γε om S 25 add ὃ ante ἡ W 26 πραιρέσεις A διαιρέσεις S

ἡδὺ κατὰ τὸν βίον τοῦτον ἑλόμενος καὶ μὴ θεραπεύσας ἐκ μεταμελείας τὴν ἀβουλίαν ἄβατον ἑαυτῷ μετὰ ταῦτα τὸν τῶν ἀγαθῶν χῶρον ἐργάζεται, τὴν ἀδιάβατον ταύτην ἀνάγκην καθάπερ τι βάραθρον ἀχανές τε καὶ ἀπαρόδευτον καθ' ἑαυτοῦ διορύξας. διό μοι δοκεῖ καὶ τὴν ἀγαθὴν τῆς ψυχῆς κατάστασιν, ἐν ᾗ τὸν τῆς ὑπομονῆς ἀθλητὴν ἀναπαύει ὁ λόγος, κόλπον τοῦ Ἀβραὰμ ὀνομάσαι· πρῶτος γὰρ οὗτος ὁ πατριάρχης τῶν πώποτε γεγονότων ἱστόρηται τὴν ἐλπίδα τῶν μελλόντων τῆς ἀπολαύσεως τῶν παρόντων ἀνταλλαξάμενος, ὅς γε πάντων γυμνωθείς, ἐν οἷς ἦν αὐτῷ κατ' ἀρχὰς ἡ ζωή, ἐν ἀλλοτρίοις εἶχε τὴν δίαιταν διὰ τῆς παρούσης κακοπαθείας τὴν ἐλπιζομένην εὐκληρίαν ἐμπορευόμενος. ὥσπερ οὖν τὴν ποιὰν τοῦ πελάγους περιγραφὴν ἐκ καταχρήσεώς τινος ὀνομάζομεν κόλπον, οὕτω μοι δοκεῖ τῶν ἀμετρήτων ἐκείνων ἀγαθῶν τὴν ἔνδειξιν ὁ λόγος τῷ τοῦ κόλπου διασημαίνειν ὀνόματι, ᾧ πάντες οἱ δι' ἀρετῆς τὸν παρόντα διαπλέοντες βίον, ὅταν ἐντεῦθεν ἀπάρωσιν, ὥσπερ ἐν ἀκλύστῳ λιμένι τῷ ἀγαθῷ κόλπῳ τὰς ψυχὰς ἐνορμίζονται. τοῖς δὲ λοιποῖς ἡ τῶν φαινομένων αὐτοῖς ἀγαθῶν στέρησις φλὸξ γίνεται τὴν ψυχὴν διασμύχουσα, ῥανίδος τινὸς ἐκ τοῦ πελάγους τῶν τοὺς ὁσίους περικλυζόντων ἀγαθῶν εἰς παραμυθίαν προσδεομένην καὶ οὐ τυγχάνουσαν. γλῶσσαν δὲ καὶ ὀφθαλμὸν καὶ δάκτυλον καὶ τὰ λοιπὰ τῶν σωματικῶν ὀνομάτων ἐν τῷ διαλόγῳ τῶν ἀσωμάτων

6–11 cf. Gen. 12,1–4; Hebr. 11,8–9; Greg. Nyss. Eun. 2 (GNO 1) p. 251,19 ss 11–16 cf. Greg. Nyss. Inscr. II 6 (GNO V) p. 87,16–22 15–16 cf. Aster. Amas. Hom. I 4 (ed. Datema, p. 13,2–4)

AB ΛAW ROΣE S 1 ἑλόμενος: ἑλκόμενος v 1–2 μεταμελείας: μετανοίας RO μεταμελείας τὴν ἀβουλίαν: μεταβουλίαν A 2 ἑαυτῶν B 2–3 τὸν ... χῶρον: τὴν ... χώραν v 4 ἀπεριόδευτον E 5 καὶ om RO 7 ποτὲ B γενομένων AB ἱστορεῖται O 8 τῆς ... παρόντων om Λ (adscr in mg Λ²) ἀναπαύσεως L 8–9 ἀνταλλαξάμενοι L 9 ὅς: ὥς BO 11 εὐκληρίαν: ἐκκλησίαν A ἐμπορευσάμενος R 13 μοι om Lv ἀμέτρων RO 14 τῷ: τὸ AB διασημαίνει O ᾧ: ὧν R 15 διαπλέοντες: παραβλέποντες RO ὅταν: ὅτι B ἀπαίρωσιν v 16 ἀκατακλύστῳ v ἐνορμίζουσι RO 17 ἀγαθῶν αὐτοῖς coll W στέρησις: ἀπόλαυσις W (corr in mg) 18 διαμύχουσα O διασμήχουσα LR 19–20 προσδεομένην ... τυγχάνουσαν Λ: προσδεομένη ... τυγχάνουσα cett v

βλέπων τῷ κατὰ στοχασμὸν ἡμῖν ἤδη νοηθέντι περὶ ψυχῆς λόγῳ συμφώνως ἔχειν ὁμολογήσεις ἐπισκεψάμενος τῶν ῥητῶν τὴν διάνοιαν· ὡς γὰρ ὅλου τοῦ σώματος ἡ τῶν στοιχείων συνδρομὴ ποιεῖ τὴν οὐσίαν, οὕτως εἰκὸς καὶ τῶν ἐν τῷ σώματι μερῶν ἐκ τῆς
85 M αὐτῆς| αἰτίας συμπληροῦσθαι τὴν φύσιν. εἰ οὖν πάρεστιν ἡ ψυχὴ τοῖς ἐκ τοῦ σώματος στοιχείοις πρὸς τὸ πᾶν ἀναχεθεῖσιν, οὐ μόνον τὸ πλήρωμα τῶν εἰς ὅλον τὸ σύγκριμα συνδεδραμηκότων γνωρίσει καὶ ἐν αὐτοῖς ἔσται, ἀλλ' οὐδὲ τὴν ἰδιάζουσαν ἑκάστου τῶν μερῶν σύστασιν ἀγνοήσει, διὰ ποίων τῶν ἐν τοῖς στοιχείοις μορίων ἀπετελέσθη τὰ ἐν ἡμῖν μέλη. τὴν οὖν ἐν παντὶ οὖσαν τῷ τῶν στοιχείων πληρώματι καὶ ἐν τοῖς καθ' ἕκαστον εἶναι οὐδὲν ἔξω τοῦ εἰκότος ἐστὶν καὶ οὕτω πρὸς τὰ στοιχεῖά τις βλέπων, οἷς ἐνυπάρχει τῇ δυνάμει τὰ καθ' ἕκαστον μέλη τοῦ σώματος, δάκτυλόν τε περὶ αὐτὴν εἶναι καὶ ὀφθαλμὸν καὶ γλῶσσαν καὶ τὰ ἄλλα πάντα μετὰ τὴν διάλυσιν τοῦ συγκρίματος τὴν γραφὴν λέγειν ὑπονοῶν τοῦ εἰκότος οὐχ ἁμαρτήσεται. εἰ οὖν τὰ καθ' ἕκαστον ἀπάγει τὸν νοῦν τῆς σωματικῆς περὶ τοῦ διηγήματος ὑπολήψεως, εἰκὸς δήπου καὶ τὸν μνημονευθέντα νῦν ᾅδην μὴ τόπον τινὰ οὕτως ὀνομαζόμενον οἴεσθαι, ἀλλά τινα κατάστασιν ζωῆς ἀειδῆ καὶ ἀσώματον, ᾗ τὴν ψυχὴν ἐμβιοτεύειν παρὰ τῆς γραφῆς διδασκόμεθα. ἀλλὰ καὶ ἕτερον ἐν τῷ κατὰ τὸν πλούσιον καὶ πτωχὸν διηγήματι δόγμα μανθάνομεν, ὃ πολλὴν ἕξει πρὸς τὰ ἐξητασμένα τὴν οἰκειότητα. ἐποίησεν ἐκεῖνον τὸν ἐμπαθῆ καὶ φιλόσαρκον,

5–16 cf. supra p. 28,6–21 et 55,17–18; Greg. Nyss. Op. hom. 27 (PG 44) 225C 18–21 cf. supra p. 47,14–17

AB ΛAW ROΣE S 1 τῷ: τὸ A τὸν v καταστοχασμὸν (om κατὰ) ABLROv ἡμῖν: ἤμην L ἡμῖν ante περὶ coll ABΛ^{2}W om Λ λόγου O 2 σύμφωνον O ῥημάτων AW 3 ὡς: ὥσπερ LW^{2}ΣES συνδρομὴ τῶν στοιχείων coll B 5 αἰτίας: οὐσίας ΣE (sed in mg αἰτίας) in mg B πληροῦσθαι RS 6 ἀναχθεῖσιν BO ἀναμιχθεῖσιν Lv 7 σύγκριμα: σῶμα S 8 οὐδὲ: οὐ v 10 μορίων: μοίρων O ἀποτελεσθῇ v τῷ om O 12 εἰκότως AB 15 τἄλλα B 16 εἰκότως AW (sed sscr ο) 20 ἀηδῆ A παρά: περὶ O 21 ἐκδιδασκόμεθα v τὸν om O add τε ante καὶ RO 22 δόγμα om RO ἔχει ROv 23 add ὅπερ ante ἐποίησεν W add γὰρ post ἐποίησεν RO

ἐπειδὴ τὸ ἄφυκτον εἶδε τῆς κατ' αὐτὸν συμφορᾶς, φροντίδα τῶν ὑπὲρ γῆς αὐτῷ κατὰ τὸ γένος προσηκόντων ἔχειν καὶ τοῦ Ἀβραὰμ εἰπόντος μὴ ἀπρονόητον εἶναι τῶν ἐν σαρκὶ ζώντων τὸν βίον, ἀλλὰ κατ' ἐξουσίαν προκεῖσθαι αὐτοῖς τὴν ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν χειραγωγίαν ἔτι παραμένειν, προσλιπαροῦντα τὸν πλούσιον, ὅπως ἂν ἐκ τοῦ παραδόξου πιθανὸν αὐτοῖς τὸ κήρυγμα γένοιτο ὑπό τινος ἐκ τῶν νεκρῶν ἀναβεβιωκότος καταγγελλόμενον.

Τί οὖν, εἶπον, ἐν τούτοις ἐστὶ τὸ δόγμα;

Ἐπειδή, φησί, τοῦ μὲν Λαζάρου πρὸς τοῖς παροῦσιν ἄσχολός ἐστιν ἡ ψυχὴ καὶ πρὸς οὐδὲν τῶν καταλειφθέντων ἑαυτὴν ἐπιστρέφει, ὁ δὲ πλούσιος οἷον ἰξῷ τινι τῇ σαρκίνῃ ζωῇ καὶ μετὰ θάνατον ἔτι προσίσχεται, ἣν οὐδὲ παυσάμενος τοῦ ζῆν καθαρῶς ἀπεδύσατο, ἀλλ' ἔτι αὐτῷ διὰ φροντίδος ἐστὶν ἡ σὰρξ καὶ τὸ αἷμα, δι' ὧν γὰρ τοὺς κοινωνοῦντας αὐτῷ τοῦ γένους ἐξαιρεθῆναι τῶν κακῶν δεῖται
88 M δῆλός ἐστι μήπω τῆς σαρκικῆς ἐκλυθεὶς προσπα|θείας· ἐκ τούτων, φησί, τῶν διηγημάτων οἰόμεθα τοῦτο δογματίζειν τὸν κύριον τὸ δεῖν ὅτι μάλιστα τοὺς ἐν σαρκὶ βιοτεύοντας διὰ τῆς κατ' ἀρετὴν ζωῆς χωρίζεσθαί πως καὶ ἀπολύεσθαι τῆς πρὸς αὐτὴν σχέσεως, ἵνα μετὰ τὸν θάνατον μὴ πάλιν ἄλλου θανάτου δεώμεθα τοῦ τὰ λείψανα

2–7 Luc. 16,27–31 11 ἰξός: cf. infra ad l. 19–64,1 s.v. κόλλα 13 ἡ σάρξ καὶ τὸ αἷμα: cf. I Cor. 15,50; Matth. 16,17 18 λύσις καὶ χωρισμός: e.g. Plat. Phaed. 67c5–7; d7–10; cf. Melet. (GNO IX) p. 455,4 (Luc. 2,29) 18–19 cf. δεύτερος θάνατος: Apoc. 2,11; 20,6 et 14; 21,8 19–64.1 τὰ λείψανα: Plat. Phaed. 86c7–8; κόλλα: Plat. Phaed. 82e1–2 (cf. Greg. Nyss. Beat. 8 (GNO VII, 2) p. 166,23); cf. Courcelle, Connais-toi toi-même, p. 325–345; κάθαρσις: Phaed. 67a5–b1 et II Cor. 7,1

AB ΛΑW ROΣE S 1 καθ' ἑαυτοῦ L παρ' ἑαυτοῦ v om B 2 αὐτῶν O προσεικόντων B προήκοντων R προσεκτῶν v 3 εἶναι om S ἐν om Λ¹ τὸν om v 5 παραμένει O 6 πλούσιον: δίκαιον v τοῦ om O 7 ὑπό: ἀπό RO ἀναβεβιωκότες L καταγγελλόμενον om B 8 ἔσται O τὸ om RΣE 9 add οὐ ante πρὸς W 10 καταληφθέντων B 10–11 ἀποστρέφει Λ¹ 11 οἱονεὶ Lv ἰξῷ: ἔξω L 12 προσέχεται ABΛ προσήχεται E προσέχει W προΐσχεται S (sed corr m rec) 15 σαρκίνης ΣES post τούτων add οὖν W 16 φησί om RO τούτου O om A 17 βιωτεύσοντες W 18 αὐτὸν Λ 19 τὸν om Λ δεόμεθα ABLW¹ROΣ (ut vid) τοῦ om LΛWΣEv

τῆς σαρκώδους λύμης ἀποκαθαίροντος, ἀλλὰ καθάπερ δεσμῶν τῇ ψυχῇ περιρραγέντων κοῦφος αὐτῇ καὶ ἄνετος ὁ πρὸς τὸ ἀγαθὸν γένηται δρόμος οὐδεμιᾶς αὐτὴν σωματικῆς ἀχθηδόνος πρὸς ἑαυτὴν ἐφελκούσης, ὡς εἴ τις ὅλος δι' ὅλων ἀποσαρκωθείη τῇ διανοίᾳ πᾶσαν ψυχῆς κίνησίν τε καὶ ἐνέργειαν ἐν τοῖς θελήμασι τῆς σαρκὸς ἀσχολῶν, ὁ τοιοῦτος οὐδὲ τῆς σαρκὸς ἔξω γενόμενος τῶν κατ' αὐτὴν παθημάτων χωρίζεται· ἀλλὰ καθάπερ οἱ ἐπὶ πλέον ἐνδιατρίψαντες τοῖς δυσωδεστέροις τῶν τόπων οὐδὲ εἰ πρὸς τὸν εὔπνουν ἀέρα μετέλθοιεν, καθαρεύουσι τῆς ἀηδίας, ἣν διὰ τῆς χρονιωτέρας ἐν αὐτῇ διαγωγῆς ἀνεμάξαντο, οὕτως οὐδὲ πρὸς τὸν ἀειδῆ καὶ λεπτὸν βίον τῆς μεταβολῆς γενομένης δυνατὸν ἂν εἴη τοὺς φιλοσάρκους μὴ ἐφέλκεσθαί τι πάντως τῆς σαρκικῆς δυσωδίας, δι' ὧν πλέον αὐτοῖς ἡ ὀδύνη βαρύνεται ὑλωδεστέρας ἐκ τῆς τοιαύτης περιστάσεως τῆς ψυχῆς γινομένης. δοκεῖ δέ πως πρὸς τὴν τοιαύτην ὑπόληψιν συνᾴδειν τὸ παρά τινων λέγεσθαι πολλάκις ὁρᾶσθαι περὶ τὰς τῶν σωμάτων θέσεις σκιοειδῆ τινα τῶν κατοιχομένων

1–2 δεσμοί: cf. Plat. Phaed. 67d1–2; 81e1–2; 83d1; et imprimis 82e1–2; Ps. 123,7; Greg. Nyss. Melet. (GNO IX) p. 455,3–6; Meth. Res. I 4,2–4 (ed. Bonwetsch, p. 224,5–17) 2–3 κοῦφος: cf. Plat. Phaedr. 248c1–2; 249a8; δρόμος: cf. II Tim. 4,7 3–4 ἀχθηδόνος ἐφελκούσης: cf. Plat. Phaed. 81c9–10; Phaedr. 252c3–4 5–6 Plat. Phaed. 66b1–d7 et Joh. 1,13 7–14 cf. Plut. De facie 28 (943C–E) Heraclitum B98 (ed. Diels / Kranz) laudans; Orig. Hom. in Cant. II 2 ("peccata … taetro odore redolebunt"); cf. Greg. Nyss. Eccl. 8 (GNO V) p. 422,18–19 10–11 ὁ ἀειδὴς βίος: cf. supra p. 47,14–17 14–65.8 σκιοειδῆ φαντάσματα: Plat. Phaed. 81c8–d4

AB LΛW ROΣE S 1 σαρκώδους λύμης Jaeger: σαρκώδους κόλλης ABLWRΣESv σαρκωκόλλης O σαρκικῆς σπατάλης Λ 1–2 τὴν ψυχὴν v 3 αὐτὸν v αὐτῇ R ἀλγηδόνος v 4 ἀφελκούσης LROv 5 ψυχῆς: ψυχικὴν RO ἐνέργειαν om O 6 ἀσχολῶν … σαρκὸς om A 6–7 καθ' αὑτὴν Λ καθ' ἑαυτὴν O 7 ἀλλὰ om v πλεῖον R πλοῖον O 7–8 διατρίψαντες O 8 οὐδ' OΣES 9 μετέλθωσι RO ἀηδείας LOv 10 ἀναμίξαντο v ἀηδῆ Λ^{2}v 11 λεπτὸν: ἄβλεπτον LΛ^{2}Ev γινομένης ABΣS εἴην B 12 ἀφέλκεσθαι v σαρκίνης ΣES δι' οὗ RO 13 τῆς om v 14 γενομένης RO πως: τισι R τὴν om v 15 συνάγειν A τὸ … λέγεσθαι: ὃ … λέγεται v 16 τὰς περὶ coll v σκιώδη O

φαντάσματα· εἰ γὰρ τῷ ὄντι γίνεται οὕτως, ἐλέγχεται τῆς ψυχῆς ἡ πέρα τοῦ δέοντος γενομένη νῦν πρὸς τὸν σαρκώδη βίον προσπάθεια, ὡς μηδὲ ἐξωσθεῖσαν τῆς σαρκὸς καθαρῶς αὐτῆς ἐθέλειν ἀφίπτασθαι μηδὲ συγχωρεῖν τὴν παντελῆ γίνεσθαι πρὸς τὸ ἀειδὲς τοῦ σχήματος μεταποίησιν, ἀλλὰ παραμένειν ἔτι τῷ εἴδει μετὰ τὸ λυθῆναι τὸ εἶδος καὶ ἔξω γενομένην ἤδη τούτου πόθῳ τοῖς τῆς ὕλης ἐπιπλανᾶσθαι τόποις καὶ περὶ αὐτοὺς ἀναστρέφεσθαι.

Ἐγὼ δὲ μικρὸν ἐπισχὼν καὶ ἀναλαβὼν τὴν τῶν εἰρημένων διάνοιαν, Δοκεῖ μοι, εἶπον, τοῖς περὶ τῶν παθῶν προεξητασμένοις ἀνακύπτειν ἐκ τῶν εἰρημένων τις ἐναντίωσις· εἰ γὰρ ἐκ τῆς πρὸς τὰ ἄλογα συγγενείας ἐνομίσθη τὰ τοιαῦτα τῆς ψυχῆς ἐν ἡμῖν ἐνεργεῖσθαι κινήματα, ὅσα προλαβὼν ὁ λόγος ἀπηριθμήσατο θυμόν
89 M τε καὶ φόβον καὶ ἡδονὴν καὶ |ἐπιθυμίαν καὶ τὰ τοιαῦτα, εἴρηται δὲ τὴν μὲν ἀγαθὴν τῶν τοιούτων χρῆσιν ἀρετὴν εἶναι, διὰ δὲ τῆς ἐσφαλμένης τὴν κακίαν γίνεσθαι, προσέθηκε δὲ ὁ λόγος ἑκάστου τε τῶν ἄλλων τὴν πρὸς τὸν κατ' ἀρετὴν βίον συνεισφορὰν καὶ ὅτι δι' ἐπιθυμίας πρὸς τὸν θεὸν ἀναγόμεθα οἷόν τινι σειρᾷ

4–6 ad ἀειδές cf. supra p. 47,14–17 10 προεξητασμένοις: cf. supra p. 39,6–46,21 11–14 cf. supra p. 40,7–42,4 imprimis p. 41,22-42,4 14–16 ἀγαθὴ χρῆσις: cf. supra p. 42,4–43,16); p. 46,6–21 16–17 συνεισφορά cf. supra p. 42,16–43,1; p. 45,16–19; p. 46,17–21 18–66.1 ἀνελκόμενοι: cf. infra p. 66,14–15; p. 71,11-74,2

AB ΛΑW ROΣE S 1 τῷ ὄντι: τοῖόν τι v 2 πείρα O γινομένη L (ι ex ε corr) Λv 3 ἐξωσθείσης O αὐτὴν Lv om Λ 4 ἀφίστασθαι RO γενέσθαι ΣES 4–5 ἀηδὲς Λ^{1}W 5–6 εἴδει μετὰ: εἰδήματι O 6 ποθεῖ S πόρρω O 7 τοῖς ante 7 τόποις coll RO 10 τοῖς: τῆς L περὶ om A τῶν om v 11 ἐκ: περὶ O τινα ἐναντίωσιν S εἰ: καὶ R 12 τὰ pr: τὴν O τὰ alt om ABS 12–13 εὐεργετεῖσθαι A 13 προσλαβὼν v 14 ἐπιθυμίαν καὶ ἡδονὴν coll RO 14–15 εἴρηται δὲ om E 15 δὲ pr: γὰρ O 16 γίνεσθαι om E δὲ om AB 17 τῶν τε coll E 18 καὶ om v ἐπιθυμίαν v πρὸς τὸν θεὸν om Λ^{1} τὸν om S τινα σειρὰν Ov

κάτωθεν πρὸς αὐτὸν ἀνελκόμενοι, δοκεῖ πως, ἔφην, ἐναντιοῦσθαι πρὸς τὸν σκοπὸν ὁ λόγος.

Πῶς τοῦτο λέγεις; φησίν.

Ὅτι τοι, εἶπον, τῆς ἀλόγου πάσης κινήσεως μετὰ τὴν κάθαρσιν ἐν ἡμῖν ἀποσβεσθείσης οὐδὲ τὸ ἐπιθυμητικὸν πάντως ἔσται, τούτου δὲ μὴ ὄντος οὐδ' ἂν ἡ τοῦ κρείττονος ἔφεσις εἴη μηδενὸς ὑπολειφθέντος τῇ ψυχῇ τοιούτου κινήματος τοῦ πρὸς τὴν ὄρεξιν τῶν ἀγαθῶν ἐπεγείροντος.

Ἀλλὰ πρὸς τοῦτο, φησίν, ἐκεῖνό φαμεν, ὅτι τὸ θεωρητικόν τε καὶ διακριτικὸν ἴδιόν ἐστι τοῦ θεοειδοῦς τῆς ψυχῆς, ἐπεὶ καὶ τὸ θεῖον ἐν τούτοις καταλαμβάνομεν. εἰ τοίνυν εἴτε ἐκ τῆς νῦν ἐπιμελείας εἴτε ἐκ τῆς μετὰ ταῦτα καθάρσεως ἐλευθέρα γένοιτο ἡμῖν ἡ ψυχὴ τῆς πρὸς τὰ ἄλογα τῶν παθῶν συμφυΐας, οὐδὲν πρὸς τὴν τοῦ καλοῦ θεωρίαν ἐμποδισθήσεται· τὸ δὲ καλὸν ἑλκτικόν πώς ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν παντὸς τοῦ πρὸς ἐκεῖνο βλέποντος. εἰ οὖν πάσης κακίας ἡ ψυχὴ καθαρεύσειεν, ἐν τῷ καλῷ πάντως ἔσται, καλὸν δὲ τῇ ἑαυτοῦ φύσει τὸ θεῖον, πρὸς ὃ διὰ τῆς καθαρότητος τὴν συνάφειαν ἕξει τῷ οἰκείῳ συναπτομένη. εἰ οὖν τοῦτο γένοιτο, οὐκέτι ἔσται χρεία τῆς κατ' ἐπιθυμίαν κινήσεως, ἣ πρὸς τὸ καλὸν ἡμῖν ἡγεμονεύσει· ὁ γὰρ ἐν σκότει τὴν διαγωγὴν ἔχων οὗτος ἐν ἐπιθυμίᾳ τοῦ φωτὸς ἔσται, εἰ δὲ ἐν τῷ φωτὶ γένοιτο, τὴν ἐπιθυμίαν ἐκδέξεται ἡ ἀπόλαυσις, ἡ δὲ ἐξουσία τῆς ἀπολαύσεως ἀργὴν καὶ

3 imit. Plat. e.g. Phaed. 72b6 4–5 κάθαρσις: cf. supra p. 46,4–5 et infra p. 71,11-77,17 9–11 τὸ θεωρητικόν ... ἴδιον τοῦ θεοειδοῦς ...: cf. Plat. Tim. 90b6–c6; Rep. 611e1–3; Plot. V 3,8,47–48 14–18 cf. Joh. 6,44 et 12,32; Plat. Rep. 611e1–5; Phaed. 79d1–6, 81a4–9; Plot. VI 7,23,1–4; Greg. Nyss. Vit. Moys. (GNO VII,1) p. 112,17–18; Or. cat. 5 (GNO III,4) p. 17,11–16

AB ΛAW ROΣE S 1 post δοκεῖ add δέ RO ἔφη O 2 τὸν σκοπὸν: ἑαυτὸν AS 3 τοῦτον v 6 add πάντως ante μὴ O οὐδ' ἂν ἡ: οὐδαμοῦ RO 7 ὑποληφθέντος BO post ὄρεξιν add λέγω ΣES 8 ἐπαγείροντος O 11 εἴτε om R ἐκ τῆς νῦν ἐπιμελείας: κτίσιν σὺν ἐπιμελείᾳ O 12 εἴτε ... καθάρσεως om R 14 ἐναποδισθήσεται v δὲ: γὰρ v ἐστι om v 15 πάντως O 16 καθαρεύῃ R καθαρεύει O πάντως ante ἐν coll Λ ἐστι R 17 add ἐφ' ante ἑαυτοῦ ΣES 20 ἡμῖν om Ev οὕτως AB 21 τοῦ om O τῷ om RO

ἔωλον τὴν ἐπιθυμίαν ἐργάζεται. οὐκοῦν οὐδεμία τις ἔσται διὰ τούτων ζημία πρὸς τὴν τοῦ ἀγαθοῦ μετουσίαν, εἰ τῶν τοιούτων ἡ ψυχὴ κινημάτων ἐλευθέρα γένοιτο πρὸς ἑαυτὴν πάλιν ἐπανελθοῦσα καὶ ἑαυτὴν ἀκριβῶς ἰδοῦσα, οἵα τῇ φύσει ἐστί, καὶ οἷον ἐν κατόπτρῳ καὶ εἰκόνι διὰ τοῦ οἰκείου κάλλους πρὸς τὸ ἀρχέτυπον βλέπουσα· ἀληθῶς γὰρ ἐν τούτῳ ἔστιν εἰπεῖν τὴν ἀκριβῆ πρὸς τὸ θεῖον εἶναι 92 M ὁμοίωσιν ἐν τῷ μιμεῖ|σθαί πως τὴν ἡμετέραν ψυχὴν τὴν ὑπερκειμένην οὐσίαν. ἡ γὰρ ὑπεράνω παντὸς νοήματος φύσις πόρρω τῶν ἐν ἡμῖν θεωρουμένων ἀφιδρυμένη ἄλλῳ τινὶ τρόπῳ τὴν ἰδίαν ἐξοδεύει ζωὴν καὶ οὐ καθὼς ἡμεῖς νῦν ἐν τῷ ζῆν ἐσμεν. ἄνθρωποι μὲν γὰρ διὰ τὸ ἀεὶ πάντως ἐν κινήσει τὴν φύσιν εἶναι, καθ᾿ ὅπερ ἂν ἡ ὁρμὴ τῆς προαιρέσεως γένηται, κατ᾿ ἐκεῖνο φερόμεθα οὐχ ὁμοίως τῆς ψυχῆς κατὰ τὸ ἔμπροσθεν αὐτῆς, ὡς ἂν εἴποι τις, καὶ τὸ ὀπίσω διακειμένης· ἐλπὶς μὲν γὰρ καθηγεῖται τῆς ἐπὶ τὸ πρόσω κινήσεως, μνήμη δὲ διαδέχεται πρὸς τὴν ἐλπίδα προϊοῦσαν τὴν κίνησιν· ἀλλ᾿ εἰ μὲν πρὸς τὸ φύσει καλὸν ἡ ἐλπὶς τὴν ψυχὴν ἄγοι, φαιδρὸν ἐνσημαίνεται τῇ μνήμῃ τὸ ἴχνος ἡ τῆς προαιρέσεως κίνησις, εἰ δὲ διαψευσθείη τοῦ κρείττονος εἰδώλῳ τινὶ κάλλους παρασοφισαμένης τὴν ψυχὴν τῆς ἐλπίδος, ἡ ἐπακολουθοῦσα τοῖς γινομένοις μνήμη αἰσχύνη γίνεται καὶ οὕτως ὁ ἐμφύλιος οὗτος πόλεμος ἐν τῇ ψυχῇ

2–5 Gen. 1,26 f.; cf. supra p. 66,14–18. κάτοπτρον καὶ εἰκών: cf. e.g. Greg. Nyss. Beat. 6 (GNO VII, 2) p. 143,20–23; test. apud Lilla, p. 22 ann. 76; p. 36–42 6–7 ὁμοίωσις: Plat. Theaet. 176b1–3; Rep. 500c2–7; 613a7–b1; test. Platonis cf. Merki, Homoiosis, p. 1–7; test. Platonicorum cf. Lilla, p. 61–67; p. 97 ann. 467 20 ὁ ἐμφύλιος … πόλεμος: cf. Plat. Rep. 559e4–561a4; Greg. Nyss. Eccl. 6 (GNO V) p. 383,20–384,1 et p. 429,1–15; test. apud Lilla, p. 134–135

AB ΛW ROΣE S 1 add ἡ ante διὰ RO 2 τῶν om v 4 ἑαυτὴν: αὐτὴν ΛR εἰδοῦσα LOv 5 ἀρχέτυπον: ἀρχαῖον ABΛW (sed corr) 6 εἶναι post 7 ὁμοίωσιν coll W om RE 7 ψυχὴν: φύσιν W (adscr in mg ἐν ἄλλω ψυχήν) ζωὴν v 8 οὐσίαν: φύσιν RO 9 ἀφιδρυμένην O ἄλλο L 10 νῦν ἡμεῖς coll A τῷ ζῆν: τῇ ζωῇ ΟΣ μὲν om R 11 πάντως ἀεὶ coll AB εἶναι τὴν φύσιν coll S καθάπερ ALv ἂν om A 13 ἑαυτῆς ΛROΣES 14 γὰρ om W (sed sscr) τὸ: τὰ A 15 δέχεται v 16 ἄγει RO 17–18 διαψευθείη O 18 καλοῦ LROv 20 καὶ … πόλεμος: καὶ ἐμφύλως οὗτος ὁ πόλεμος v

συνίσταται μαχομένης τῇ ἐλπίδι τῆς μνήμης ὡς κακῶς καθηγησαμένῃ τῆς προαιρέσεως· τοιοῦτον γάρ τινα νοῦν ἑρμηνεύει σαφῶς τὸ κατ' αἰσχύνην πάθος, ὅταν δάκνηται πρὸς τὸ ἀποβὰν ἡ ψυχὴ οἷόν τινι μάστιγι τῇ μεταμελείᾳ καθαπτομένη τῆς ἀβουλήτου ὁρμῆς καὶ εἰς συμμαχίαν κατὰ τοῦ λυποῦντος ἐφελκομένη τὴν λήθην. ἀλλ' ἡμῖν μὲν διὰ τὸ πτωχὴ εἶναι τοῦ καλοῦ ἡ φύσις ἀεὶ πρὸς τὸ ἐνδέον ἵεται καὶ ἡ τοῦ λείποντος ἔφεσις αὕτη ἐστὶν ἡ ἐπιθυμητικὴ τῆς φύσεως ἡμῶν διάθεσις ἤτοι σφαλλομένη δι' ἀκρισίαν τοῦ ὄντως καλοῦ ἢ καὶ τυγχάνουσα, οὗ τυχεῖν ἀγαθόν· ἡ δὲ ὑπερέχουσα πᾶσαν ἀγαθὴν ἔννοιαν φύσις καὶ πάσης ὑπερκειμένη δυνάμεως ἅτε μηδενὸς ἐνδεῶς ἔχουσα τῶν πρὸς τὸ ἀγαθὸν νοουμένων αὐτὴ τῶν
93 M ἀγαθῶν οὖσα τὸ πλήρωμα οὐδὲ κατὰ|μετοχὴν καλοῦ τινος ἐν τῷ καλῷ γινομένη, ἀλλ' αὐτὴ οὖσα ἡ τοῦ καλοῦ φύσις, ὅ τί ποτε καὶ εἶναι τὸ καλὸν ὁ νοῦς ὑποτίθεται, οὔτε τὴν ἐλπιστικὴν κίνησιν ἐν ἑαυτῇ δέχεται, πρὸς γὰρ τὸ μὴ παρὸν ἡ ἐλπὶς ἐνεργεῖται μόνον, Ὃ δὲ ἔχει τις, τί καὶ ἐλπίζει; φησὶν ὁ ἀπόστολος· οὔτε τῆς μνημονευτικῆς ἐνεργείας πρὸς τὴν τῶν ὄντων ἐπιστήμην ἐπιδεής ἐστι, τὸ γὰρ βλεπόμενον τοῦ μνημονευθῆναι οὐκ ἐπιδέεται. ἐπεὶ οὖν παντὸς ἀγαθοῦ ἐπέκεινα ἡ θεία φύσις, τὸ δὲ ἀγαθὸν ἀγαθῷ φίλον πάντως,

7–8 cf. e.g. Aristot. EN III 13 (1118b18–19) 10–13 perfectio naturae divinae: cf. Greg. Nyss. Or. cat. Prolog. (GNO III,4) p. 7,1–11 12 πλήρωμα: cf. Greg. Nyss. Op. hom. 16 (PG 44) 184B 16 Rom. 8,24 19 ἐπέκεινα: cf. e.g. Plat. Rep. 509b8–10 ἀγαθὸν ἀγαθῷ φίλον: cf. Plat. Phaed. 100d7–e3

AB ΛAW ROΣE S 1 μαχομένη A ὡς om RO 1–2 καθηγησαμένῃ LW: καθηγησαμένης cett v 4 μεταβουλία R (sed expunxit et in mg adscr μεταμελεία) 6 πτωχὴν LOv τὴν φύσιν O 6–7 ἐνδεὲς O 7 εἵεται L ἵσταται ΣE 8 ἀκρασίαν ΑΣΕ 8–9 ὄντος ABΛRSv 9 τύχοιεν Λ² ἀγαθοῦ Λ 10 ἀγαθὴ (sic) post ἔννοιαν coll S 11 ἀγαθὸν ex ἀγαθῶν corr A αὐτὴ BΛRS: αὐτῇ ΑΣ (accent incert) O αὕτη LWEv 12 πλήρωμα: πλῆθος O οὔτε W 13 γινομένη: κινουμένη Lv αὐτῇ sed corr AW ἡ ante φύσις coll R καὶ om R 15 ἐνείργηται L ἐνήργηται v 16 τί om O pauci e testt NT καὶ: οὐκ O add θεῖος ante ἀπόστολος AS 18 μνημονεύεσθαι ΣES ἐπιδέχεται Λ ἐπειδὴ RO ἐπεὶ δὲ v οὖν om O 19 add τῷ ante ἀγαθῷ O ἀγαθῷ: ἀγαθοῦ Rv πάντως φίλον coll RO

διὰ τοῦτο ἑαυτὴν βλέπουσα καὶ ὃ ἔχει, θέλει καὶ ὃ θέλει, ἔχει οὐδὲν τῶν ἔξωθεν εἰς ἑαυτὴν δεχομένη· ἔξω δὲ αὐτῆς οὐδέν, ὅ τι μὴ ἡ κακία μόνη, ἥτις, εἰ καὶ παράδοξον εἰπεῖν, ἐν τῷ μὴ εἶναι τὸ εἶναι ἔχει· οὐ γὰρ ἄλλη τίς ἐστι κακίας γένεσις εἰ μὴ ἡ τοῦ ὄντος στέρησις· τὸ δὲ κυρίως ὂν ἡ τοῦ ἀγαθοῦ φύσις ἐστίν· ὃ οὖν ἐν τῷ ὄντι οὐκ ἔστιν, ἐν τῷ μὴ εἶναι πάντως ἐστίν. ἐπειδὰν οὖν καὶ ἡ ψυχὴ πάντα τὰ ποικίλα τῆς φύσεως ἀποσκευασαμένη κινήματα θεοειδὴς γένηται καὶ ὑπερβᾶσα τὴν ἐπιθυμίαν ἐν ἐκείνῳ ᾖ πρὸς ὃ ὑπὸ τῆς ἐπιθυμίας τέως ἐπῄρετο, οὐκέτι τινὰ σχολὴν δίδωσιν ἐν ἑαυτῇ οὔτε τῇ ἐλπίδι οὔτε τῇ μνήμῃ· τὸ μὲν γὰρ ἐλπιζόμενον ἔχει, τῇ δὲ περὶ τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν ἀσχολίᾳ τὴν μνήμην ἐκκρούει τῆς διανοίας, καὶ οὕτως τὴν ὑπερέχουσαν μιμεῖται ζωὴν τοῖς ἰδιώμασι τῆς θείας φύσεως ἐμμορφωθεῖσα, ὡς μηδὲν ὑπολειφθῆναι τῶν ἄλλων αὐτῇ πλὴν τῆς ἀγαπητικῆς διαθέσεως φυσικῶς τῷ καλῷ προσφυομένης· τοῦτο γάρ ἐστιν ἡ ἀγάπη, ἡ πρὸς τὸ καταθύμιον ἐνδιάθετος σχέσις. ὅταν οὖν ἁπλῆ καὶ μονοειδὴς καὶ ἀκριβῶς θεοείκελος ἡ ψυχὴ γενομένη εὕρῃ τὸ ἀληθῶς ἁπλοῦν τε καὶ ἄϋλον ἀγαθόν, ἐκεῖνο τὸ μόνον τῷ ὄντι ἀγαπητὸν καὶ ἐράσμιον, προσφύεταί τε αὐτῷ καὶ συνανακίρναται διὰ τῆς ἀγαπητικῆς κινήσεώς τε καὶ ἐνεργείας πρὸς τὸ ἀεὶ καταλαμβανόμενόν τε καὶ εὑρισκόμενον
96 M ἑαυτὴν μορφοῦσα καὶ |τοῦτο γινομένη διὰ τῆς τοῦ ἀγαθοῦ ὁμοιότητος, ὅπερ ἡ τοῦ μετεχομένου φύσις ἐστίν· ἐπιθυμίας δὲ ἐν ἐκείνῳ μὴ οὔσης διὰ τὸ μηδέ τινος τῶν ἀγαθῶν ἔνδειαν ἐν αὐτῷ εἶναι,

3–5 κακία ut στέρησις: Greg. Nyss. Or. cat. 5 (GNO III,4) p. 20,15–16; 7 (GNO III,4) p. 28,5–7 et Gantz, p. 281 ann. 39

AB ΛΑW ROΣE S 1 ἑαυτὴν: ἐν ἑαυτῇ LROv 2 post ὅ τι add εἰ E μὴ om O 3 μόνη: μόνον ᾖ E ἥτις: εἴ τις B εἰ om ΛROΣE καὶ: κἂν ΛROΣEv 4 add καὶ ante κακίας v ἡ om OEv 5 ὃ: εἰ LE 7 τὰ om O 8 γίνεται v ᾖ: εἶ O 9 τέως ante 8 ὑπὸ coll S add θεὸς ante τέως O ὑπήρετο v τινὰ LW (sscr) ROv: om ABΛΣES 10 μὲν om v τῇ: τι· ἡ B ἡ LΛΣEv 11 περὶ: παρὰ O ἀσχολία consulto BLΛΣEv ex usu scribendi cett 16 post οὖν add ἡ v 17 γινομένη Lv εὕρῃ τὸ: εὕροι τὸ ABΣS εὕροιτο Lv ἀληθὲς O ἄϋλον: ἄδολον A 18 τῷ ὄντι: τοιόν τι v add τε ante καὶ E 19 τε: τι O συγκιρνᾶται LΛOv ἀγαπητῆς v 20 καταλαμβανόν O 22 δὲ om v 23 ἐν ἑαυτῷ BO

ἀκόλουθον ἂν εἴη καὶ τὴν ψυχὴν ἐν τῷ ἀνενδεεῖ γενομένην ἐκβάλλειν ἀφ' ἑαυτῆς καὶ τὴν ἐπιθυμητικὴν κίνησίν τε καὶ διάθεσιν, ἣ τότε γίνεται μόνον, ὅταν μὴ παρῇ τὸ ποθούμενον. τοῦ δὲ τοιούτου δόγματος καὶ ὁ θεῖος ἀπόστολος ἡμῖν καθηγήσατο πάντων τῶν νῦν ἐν ἡμῖν καὶ ἐπὶ τῷ κρείττονι σπουδαζομένων παῦλάν τινα καὶ καταστολὴν προαγγείλας, μόνης δὲ τῆς ἀγάπης οὐχ εὑρὼν τὸν ὅρον· Προφητεῖαι γάρ, φησί, καταργηθήσονται καὶ γνώσεις παύσονται, ἡ δὲ ἀγάπη οὐδέποτε ἐκπίπτει, ὅπερ ἴσον ἐστὶ τῷ ἀεὶ ὡσαύτως ἔχειν· ἀλλὰ καὶ πίστιν καὶ ἐλπίδα συμπαραμεμενηκέναι τῇ ἀγάπῃ λέγων πάλιν καὶ τούτων αὐτὴν ὑπερτίθησιν εἰκότως, ἡ γὰρ ἐλπὶς μέχρις ἐκείνου κινεῖται, ἕως ἂν μὴ παρῇ ἡ τῶν ἐλπιζομένων ἀπόλαυσις, καὶ ἡ πίστις ὡσαύτως ἔρεισμα τῆς τῶν ἐλπιζομένων ἀδηλίας γίνεται. οὕτω γὰρ αὐτὴν καὶ ὡρίσατο λέγων Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις. ἐπειδὰν δὲ ἔλθῃ τὸ ἐλπιζόμενον, τῶν ἄλλων ἀτρεμούντων πάντων ἡ κατὰ τὴν ἀγάπην ἐνέργεια μένει τὸ διαδεχόμενον αὐτὴν οὐχ εὑρίσκουσα· διὸ καὶ προτερεύει τῶν τε κατ' ἀρετὴν κατορθουμένων ἁπάντων καὶ τῶν τοῦ νόμου παραγγελμάτων. εἰ οὖν ἐπὶ τοῦτό ποτε τὸ τέλος φθάσειεν ἡ ψυχή, ἀνενδεῶς ἕξει τῶν ἄλλων ἅτε δὴ τοῦ πληρώματος περιδεδραγμένη τῶν ὄντων καὶ δοκεῖ μόνη πως αὐτὴ τῆς θείας μακαριότητος ἐν ἑαυτῇ σῴζειν τὸν χαρακτῆρα· ἥ τε γὰρ ζωὴ τῆς ἄνω φύσεως ἀγάπη ἐστίν, ἐπειδὴ τὸ

7–8 I Cor. 13,8 9–10 cf. I Cor. 13,13 13–14 Hebr. 11,1

AB LΛW ROΣE S 1 γινομένην ROv 1–2 ἐκβαλεῖν ΛRO 2 ἀφ' om E 3 add τοῦ ante τοιούτου v 4 τῶν om Λ[1] νῦν post ἡμῖν coll RO 5 τὸ κρειττον Λ 6 προσαγγείλας O μόνον L δὲ fort eras W om O 7 γνώσεις: γλῶσσαι ΣE ex I Cor 13,8 8 πίπτει ABLWv τῷ: τὸ ABROΣ ἀεὶ LWROv: om cett 9 λέγων τῇ ἀγάπῃ coll AB 11 παρῇ ἡ: παρείη Lv ἀπόλαυσις W (ἐν ἄλλῳ ἀδηλία in mg adscr) 12 ἀδηλίας: ὑποστάσεως LRO 12–14 γίνεται ... ὑπόστασις om RO 12–13 γίνεται om L 13 καὶ αὐτὴν coll E 14 ὑποστάσεως RO ἔλθει O 15 εὐτηρεμόντων v ἀγάπην om A ἐνέργειαν A 16 αὐτῇ O εὑρίσκουσαν v πρωτεύει RO 18 τὸ τέλος ποτὲ coll S ἔφθασεν O 19 παραδεδραγμένη Λ[1] post καὶ add ἀεὶ Λ[2]W add εἰ ABΛS 20 post δοκεῖ coll πῶς (sic) O add ὡς S et scr πῶς αὐτὴ ΛW: αὐτῇ L αὕτη cett αὐτῆς v ἑαυτῇ: αὐτῇ Lv

καλὸν ἀγαπητὸν πάντως ἐστὶ τοῖς γινώσκουσι· γινώσκει δὲ ἑαυτὸ τὸ θεῖον, ἡ δὲ γνῶσις ἀγάπη γίνεται, διότι καλόν ἐστι τῇ φύσει τὸ γινωσκόμενον. τοῦ δὲ ἀληθῶς καλοῦ ὁ ὑβριστὴς οὐ προσάπτεται κόρος· κόρου δὲ τὴν ἀγαπητικὴν πρὸς τὸ καλὸν σχέσιν οὐ διακόπτοντος ἀεὶ ἡ θεία ζωὴ δι' ἀγάπης ἐνεργηθήσεται, ἣ καλή τε κατὰ
97 M φύ|σιν ἐστὶ καὶ ἀγαπητικῶς πρὸς τὸ καλὸν ἐκ φύσεως ἔχει καὶ κόρον τῆς κατὰ τὴν ἀγάπην ἐνεργείας οὐκ ἔχει, ἐπειδὴ οὐδὲ τοῦ καλοῦ τι πέρας καταλαμβάνεται, ὡς συναπολήγειν τῷ πέρατι τοῦ καλοῦ τὴν ἀγάπην· μόνῳ γὰρ τῷ ἐναντίῳ τὸ καλὸν περατοῦται, οὗ δὲ ἡ φύσις ἀνεπίδεκτός ἐστι τοῦ χείρονος, πρὸς τὸ ἀπέραντόν τε καὶ ἀόριστον [τὸ ἀγαθὸν] προελεύσεται. ἐπεὶ οὖν ἑλκτικὴ τῶν οἰκείων πᾶσα φύσις ἐστίν, οἰκεῖον δέ πως τῷ θεῷ τὸ ἀνθρώπινον ἅτε δὴ φέρον ἐν ἑαυτῷ τοῦ ἀρχετύπου μιμήματα, ἕλκεται κατὰ πᾶσαν ἀνάγκην πρὸς τὸ θεῖόν τε καὶ συγγενὲς ἡ ψυχή, δεῖ γὰρ πάντῃ καὶ πάντως ἀποσωθῆναι τῷ θεῷ τὸ ἴδιον· ἀλλ' εἰ μὲν κούφη καὶ ἀπέριττος τύχοι μηδεμιᾶς σωματικῆς ἀχθηδόνος αὐτὴν πιεζούσης, ἡδεῖα καὶ εὔκολος αὐτῇ ἡ πρὸς τὸν ἐπισπώμενον προσχώρησις γίνεται,

3–9 cf. Orig. Princ. I 3,8 (ed. Koetschau, p. 62,13–63,7) 3–4 ὑβριστὴς ... κόρος: cf. Greg. Naz. 2,1,1 v. 40 (PG 37) 973A 9 cf. Greg. Nyss. Vit. Moys. (GNO VII,1) p. 3,17–19 13–14 ἕλκεται ... πρὸς τὸ συγγενές: Men. Rhet. II (ed. Russell / Wilson, p. 414,21–23 Sp.) 15 κούφη: cf. supra p. 64,2 (κοῦφος) et Sen. Cons. ad Marc. 23,1 16 ἀχθηδών: cf. supra p. 64,3 (ἀχθηδόνος)

AB (L)ΛW ROΣE S 1 γινώσκεται RO δ' ἑαυτὸ B δὲ ἑαυτῷ Λ^1 δὲ αὑτὸ ALROv 2 διότι: διὸ τὸ Lv 3 προσάπτεται: προσγίνεται O 4 κόρος ante 3 οὐ coll ΣES σχέσιν ante πρὸς coll ΣES 5 post τε add καὶ Λ^2O 6–7 et καὶ om et post κόρον add τε R καὶ ... ἔχει om O 7 κόρον: ὅρον LWEv ἐπεὶ ΛS 8 τι: τὸ O 9 τὸ καλὸν: τοῦ καλοῦ sed corr in mg R περατιοῦται v 11 τὸ om RO τὸ ἀγαθὸν secl Langerbeck 11–76.10 ἐπεὶ ... ἔχει om L 11 ἑλκτικὴ ante 12 πᾶσα coll W 12 πᾶσα om O τῷ om W τὸν ἄνθρωπον O 13 φέρων ABWO add καὶ ante κατὰ O 15 τῷ θεῷ ἀποσωθῆναι coll ROv εἰ: ἡ BO κοῦφος W (sed corr) 15–16 ἀπέρητος B 16 τύχῃ ΛROv ἀχθηδόνος ante σωματικῆς coll RO om Λ^1 17 αὕτη AB αὐτὴ O ἡ: δὲ O προσχώρησις: τὴν χώρησιν O

εἰ δὲ τοῖς τῆς προσπαθείας ἥλοις τῇ πρὸς τὰ ὑλώδη σχέσει καταπαρείη, οἷόν τι πάσχειν εἰκὸς ἐν τοῖς συμπτώμασι τῶν σεισμῶν τὰ ἐμπιεσθέντα τοῖς χώμασι σώματα. προκείσθω δὲ καθ' ὑπόθεσιν τὸ μὴ βεβαρῆσθαι μόνον αὐτὰ τοῖς συμπτώμασιν, ἀλλὰ καὶ διαπεπερονῆσθαί τισιν ὀβελοῖς ἢ ξύλοις τοῖς ἐνευρεθεῖσι τῷ χώματι· ὅπερ οὖν εἰκὸς ὑπομεῖναι τὰ οὕτω διακείμενα σώματα παρὰ τῶν οἰκείων τῆς ὁσίας ἕνεκεν ἐξελκόμενα - ξανθήσεται γὰρ πάντως καὶ σπαραχθήσεται καὶ πᾶν ὁτιοῦν τῶν χαλεπωτάτων πείσεται τοῦ χώματος αὐτὰ καὶ τῶν ἥλων διὰ τὴν τῶν ἐφελκομένων βίαν καταξαινόντων - τοιοῦτόν τί μοι δοκεῖ καὶ περὶ τὴν ψυχὴν γίνεσθαι πάθος, ὅταν ἡ θεία δύναμις ὑπὸ φιλανθρωπίας ἐκ τῶν ἀλόγων τε καὶ ὑλικῶν συμπτωμάτων ὑφέλκῃ τὸ ἴδιον· οὐ γὰρ μισῶν οὐδὲ ἀμυνόμενος ἐπὶ τῇ κακῇ ζωῇ κατά γε τὸν ἐμὸν λόγον ἐπάγει τοῖς ἐξημαρτηκόσι τὰς ὀδυνηρὰς διαθέσεις ὁ ἀντιποιούμενός τε καὶ πρὸς ἑαυτὸν ἕλκων πᾶν, ὅτιπερ αὐτοῦ χάριν ἦλθεν εἰς γένεσιν, ἀλλ' ὁ μὲν ἐπὶ τῷ κρείττονι σκοπῷ πρὸς ἑαυτόν, ὅς ἐστι πηγὴ πάσης μακαριότητος, τὴν ψυχὴν ἐπισπᾶται, ἐπισυμβαίνει δὲ κατ' ἀνάγκην ἡ ἀλγεινὴ διάθεσις τῷ ἑλκομένῳ. |100 M καὶ ὥσπερ τὴν ἐμμιχθεῖσαν τῷ χρυσίῳ ὕλην οἱ διὰ πυρὸς ἐκκαθαίροντες οὐ μόνον τὸ νόθον τῷ πυρὶ τήκουσιν, ἀλλὰ κατὰ πᾶσαν ἀνάγκην καὶ τὸ καθαρὸν τῷ κιβδήλῳ

1–10 ἧλοι: Plat. Phaed. 83d4–6; e.g. Greg. Nyss. Or. cat. 8 (GNO III,4) p. 32,23–33,9; Beat. 8 (GNO VII, 2) p. 166,21–22; Courcelle, Connais-toi toi-même, p. 325–345 18–73.5 e.g. Greg. Nyss. Or. cat. 26 (GNO III,4) p. 66,10–22; cf. Sap. 3,6 et Prov. 17,3

AB ΛW ROΣE S 1 τῇ ... σχέσει: εἰς τὴν (τὸν O) ... σχέσιν B (ex corr) W^1ROv 1–2 καταπαρῇ v 2 τινα v πάσχειν εἰκὸς: πάσχουσιν RO 3 ἐμπεισθέντα O ἐμπιστευθέντα A post σώματα add τὸ ἐναντίον συμβαίνει S προσκείσθω B (ex corr) WR τὸ: τῶ A 4 μόνα E 4–5 διαπερωνεῖσθαι O 5 εὑρεθεῖσι ROΣES add ἐν ante τῷ ABW^2ΣE 7 add συμπτώσεως ante ὁσίας v ὁσίας: ex θείας corr A θείας B (sscr βίας) βίας Λ οὐσίας W^2O ἐξανθήσεται O γὰρ om Λ 10 τοιοῦτο ΣE 11 ὑπὸ: ἀπὸ O 12 ἐφέλκῃ $Λ^2$O (-ει) ΣE (-οι) ἐφέλκεται v οὐ: οὐδὲ ΣES οὐδ' Bv post ἀμυνόμενος add ὁ θεὸς ΛW 13–14 ἡμαρτηκόσι BΛ 14 ὀδυνηρὰς: πονηρὰς E add ὁ θεὸς ante ὁ v ἑαυτὸν: αὐτὸν O 17 ἐπισπᾶται τὴν ψυχὴν coll v 18 τὴν om Λ χρυσῷ OΣE 19 ἐκκαθαροῦντες v 20 τῷ καθαρῷ AB (sed corr)

συγκατατήκεται κἀκείνου δαπανωμένου τοῦτο μένει, οὕτω καὶ τῆς κακίας τῷ καθαρσίῳ πυρὶ δαπανωμένης ἀνάγκη πᾶσα καὶ τὴν ἑνωθεῖσαν αὐτῇ ψυχὴν ἐν τῷ πυρὶ εἶναι, ἕως ἂν τὸ κατεσπαρμένον νόθον καὶ ὑλῶδες καὶ κίβδηλον ἅπαν ἀναλωθείη τῷ πυρὶ δαπανώμενον. καὶ καθάπερ εἴ τινι σχοινίῳ πηλὸς τῶν κολλωδεστέρων διὰ βάθους περιπλασθείη, εἶτα διά τινος λεπτοῦ χωρήματος ἡ ἀρχὴ διεξαχθείη τῆς σχοίνου καὶ βιαίως τις ἐπὶ τὰ ἐντὸς ἐκ τοῦ ἄκρου τὴν σχοῖνον ἐφέλκοιτο, ἀνάγκη πᾶσα τὴν μὲν ἕπεσθαι τῷ ἐπισπωμένῳ, τὸν δὲ περιπλασθέντα πηλὸν ἐκ τῆς βιαίας ὁλκῆς ἔξω τῆς τρυμαλιᾶς μένειν τῆς σχοίνου ἀποξυόμενον καὶ αἴτιον αὐτῇ γίνεσθαι τοῦ μὴ εὐοδοῦσθαι κατὰ τὴν πάροδον, ἀλλὰ βιαίαν ὑπομένειν ἐκ τοῦ ἐφελκομένου τὴν τάσιν, τοιοῦτόν τί μοι δοκεῖ καὶ τὸ περὶ τὴν ψυχὴν ἐννοεῖν ταῖς ὑλικαῖς τε καὶ γεώδεσι προσπαθείαις ἐνειληθεῖσαν κάμνειν καὶ διατείνεσθαι τοῦ μὲν θεοῦ τὸ ἴδιον πρὸς ἑαυτὸν ἕλκοντος, τοῦ δ' ἀλλοτρίου διὰ τὸ συμφυῆναί πως αὐτῇ βιαίως ἀποξυομένου καὶ τὰς δριμείας αὐτῇ καὶ ἀνυποστάτους ἀλγηδόνας ἐπάγοντος.

Οὐκοῦν, εἶπον, οὐχ ἡ θεία κρίσις, ὡς ἔοικε κατὰ τὸ προηγούμενον, τοῖς ἐξημαρτηκόσιν ἐπάγει τὴν κόλασιν, ἀλλ' ἡ μέν, ὡς ὁ λόγος ὑπέδειξεν, ἀγαθὸν ἐνεργεῖ μόνον τοῦ κακοῦ ἀποκρίνουσα καὶ πρὸς

1–2 cf. e.g. Greg. Nyss. Mort. (GNO IX) 54,19–20; Tunc et ipse (GNO III,2) p. 13,22–14,7   5 κόλλα: cf. supra ad p. 63,19–64,1   17–18 cf. supra p. 71,11–73,16 imprimis p. 72,10–18

ΑΒΛW ROΣE S   1 post κἀκείνου add δὲ v   2 καθαρσίῳ: ἀκοιμήτῳ v   3 ἕως: ὡς v   καταπεπαρμένον Λ   4 νόθον om R   ἅπαν ἀναλωθῇ RO ἀπαναλωθῇ v ἀπαναλωθείη Λ   add αἰωνίῳ ante πυρὶ v   6 βάθος A   παραπλασθείη O ἐπιπλασθείη (περι sscr) Λ   7 διεξαχθείη: διεξέλθοι E   τῆς: τοῦ ΒΛ   βιαίως: βεβαίως A corr m rec   τις: τῆς O   ἐντός: ἐκτὸς RO   ἐκ om O   10 ἀπωξυμμένον E ἀποξεόμενον WRO   γενέσθαι RΣS   12 τὴν pr om A   τοιοῦτο ΣE   13 ταῖς om W   ἐνειλιχθεῖσαν Λ   14 add τε ante καὶ S   διατίνεσθαι O   15 δὲ WΣE   τό: τοῦ R   ἀποξεομένου WO ἀποξυρομένου v   17 εἶπον post κρίσις coll ABW   οὐ (!) post ἔοικεν coll ΑΒΛW   18 τὴν om ΑΒΛW ἀλλὰ ΛEv   ἡ: ἢ ex εἰ Λ τὸ v   19 ἀπέδειξεν v   add τὸ ante ἀγαθὸν RO   ἐνεργεῖν A

τὴν τῆς μακαριότητος κοινωνίαν ἐπισπωμένη, ὁ δὲ τῆς συμφυΐας διασπασμὸς ὀδύνη τῷ ἑλκομένῳ γίνεται.

Οὕτω, φησὶν ἡ διδάσκαλος, καὶ ὁ ἐμός ἐστι λόγος καὶ ὅτι μέτρον τῆς ἀλγηδόνος ἡ τῆς κακίας ἐν ἑκάστῳ ποσότης ἐστίν· οὐ γὰρ εἰκὸς ἐκ τοῦ ἴσου τὸν ἐν ἀπηγορευμένοις γεγονότα κακοῖς καὶ τὸν μετρίοις τισὶ συνενεχθέντα πλημμελήμασιν ἐν τῇ καθάρσει τῆς μοχθηρᾶς ἕξεως ἀνιαθῆναι, ἀλλὰ παρὰ τὸ ποσὸν τῆς ὕλης ἢ πλεῖον ἢ ἔλαττον ἡ ὀδυνηρὰ ἐκείνη φλὸξ ἐξαφθήσεται, ἕως ἂν τὸ ὑποτρέφον ᾖ. ᾧ τοίνυν πολὺς ὁ ὑλώδης ἔπεστι φόρτος, πολλὴν ἀνάγκη καὶ διαρκεστέραν ἐπ' αὐτοῦ γίνεσθαι τὴν ἀναλίσκουσαν φλόγα· ᾧ δὲ ἐπ' ἔλαττον ἡ τοῦ πυρὸς δαπάνη ἐγκαταμέμικται, τοσοῦτον ὑποκαταβαίνει τῆς σφοδροτέρας τε καὶ δριμυτέρας ἐν-
101 M εργείας| ἡ κόλασις, ὅσον ἠλάττωται τῷ τῆς κακίας μέτρῳ τὸ ὑποκείμενον. χρὴ γὰρ πάντῃ καὶ πάντως ἐξαιρεθῆναί ποτε τὸ κακὸν ἐκ τοῦ ὄντος καί, ὅπερ ἐν τοῖς φθάσασιν εἴρηται, τὸ ἐν τῷ ὄντι μὴ ὂν μηδὲ εἶναι ὅλως· ἐπειδὴ γὰρ ἔξω τῆς προαιρέσεως ἡ κακία φύσιν οὐκ ἔχει, ὅταν πᾶσα προαίρεσις ἐν τῷ θεῷ γένηται, εἰς παντελῆ

3–14 poenarum gradus: cf. e.g. Plat. Phaed. 113d1–114b6; Orig. Princ II 10,6 (ed. Koetschau, p. 179,11–21) 14–16 cf. supra p. 51,11–13; infra p. 77,12–14; 123,11–16; et supra p.69,2–6 16 ἔξω τῆς προαιρέσεως ἡ κακία ... cf. Greg. Nyss. Or. cat. 5 (GNO III,4) p. 20,10–16 17 ὅταν ... γένηται cf. Orig. Princ III 6,3 (ed. Koetschau, p. 283,14–285,7)

AB ΛW ROΣE S 1 ἐπισπωμένης A 3 οὕτως AWRΣE οὗτος B ἐστι om A post λόγος coll O 4 ἐν om ABΛW[1] 5 τοῦ ἴσου τὸν: τοῦ τω ἰσοῦ τῶν (τω obrutum et τῶν in τὸν corr) B τοῦ τοσοῦτον A τοῦ ἴσου τὸν εἰς τοσοῦτον v ἐν om sed inseruit B κακοῖς ante γεγονότα coll B om O 6 τισὶ om v 6–7 καθάρσει: κρίσει v 7 παρὰ: περὶ O 8 πλείω B πλείων ΣΕ ἐλάττω B ἐλάττων ΣΕ ἕως: ὡς v 9 ὑποστρέφον Λ πολὺς om O 10 ἀνάγκην ABW (ν eras) O αὐτῷ v γίνεσθαι ἐπ' αὐτοῦ coll S γενέσθαι W ἀλίσκουσαν Λ (sed corr) 13 ἐλαττοῦται RO τῷ: τὸ B 14 add τε ante καὶ ΛΣΕS 14–15 ποτε ... εἴρηται om O 15 τὸ ἐν τῷ ὄντι: τῶ ὄντι A τὸ ὄντως v 16 μηδ' v τῆς om ΛWΣΕ post κακία add εἶναι ROv sscr B 17 post πᾶσα sscr ἡ B θεῷ om O

ἀφανισμὸν ἡ κακία μεταχωρήσει τῷ μηδὲν αὐτῆς ὑπολειφθῆναι δοχεῖον.

Ἀλλὰ τί τὸ κέρδος τῆς χρηστῆς ταύτης ἐλπίδος, εἶπον ἐγώ, τῷ λογιζομένῳ, ὅσον ἐστὶ κακὸν καὶ ἐνιαύσιον μόνην ὑποσχεῖν ἀλγηδόνα, εἰ δὲ εἰς αἰώνιόν τι διάστημα ἡ ἄσχετος ἐκείνη ὀδύνη παραταθείη, τίς ἐκ τῆς ὕστερον ἐλπίδος ὑπολείπεται παραμυθία, ᾧ πρὸς ὅλον αἰῶνα συνδιαμετρεῖται ἡ κόλασις;

Ὧι γε προνοητέον ἢ καθόλου τῶν ἐκ κακίας μολυσμάτων φυλάξαι τὴν ψυχὴν ἀμιγῆ τε καὶ ἀκοινώνητον ἤ, εἰ τοῦτο πάντῃ ἀμήχανον διὰ τὸ ἐμπαθὲς τῆς φύσεως ἡμῶν, ὡς ὅτι μάλιστα ἐν μετρίοις τισὶ καὶ εὐθεραπεύτοις εἶναι τὰ τῆς ἀρετῆς ἀποτεύγματα. οἶδε γὰρ ἡ εὐαγγελικὴ διδασκαλία καὶ μυρίων ὀφειλέτην τινὰ ταλάντων καὶ πεντακοσίων δηναρίων καὶ πεντήκοντα καὶ κοδράντου τινός, ὅπερ τὸ ἔσχατόν ἐστιν ἐν νομίσμασι, τὴν δὲ τοῦ θεοῦ δικαίαν κρίσιν διὰ πάντων διεξιέναι καὶ τῷ βάρει τοῦ ὀφλήματος συνεπιτείνουσαν τὴν ἀνάγκην τῆς ἀπαιτήσεως καὶ οὐδὲ τῶν μικροτάτων ὑπερορῶσαν. τὴν δὲ ἀπόδοσιν τῶν ὀφλημάτων τὸ εὐαγγέλιον εἶπεν οὐκ ἐκ χρημάτων διαλύσεως γίνεσθαι, ἀλλὰ Παραδίδοσθαι τοῖς βασανισταῖς τὸν ὑπόχρεων, ἕως ἄν, φησίν, ἀποδῷ πᾶν

12–14 debitores biblici debita varia habentes: Matth. 18,24 (μυρίων ταλάντων); Luc. 7,41 (πεντακοσίων δηναρίων καὶ πεντήκοντα); Matth. 5,26 (κορδάντου) 14–17 θεοῦ δικαία κρίσις: Greg. Nyss. Beat. 5 (GNO VII, 2) p. 130,13–15 17–76.1 Matth. 18,34

AB ΛW ROΣE S 1 μεταχωρήσει: μὴ χωρήσει v add ἐν ante τῷ Λ τῷ: τὸ B (sed corr) O 3 τὸ om v ταύτης om v 4 ἐνιαυσιαῖον AB ἐνιαυσιαίαν ΛWv 5 δ' v εἰς: ὡς Λ 6 τίς ΛROE: τίς ἡ cett v ἐκ τῆς: ἐκ τῆς εἰς BWRΣ ἔκτισις E ὑπολέλειπται Rv 7 διαμετρεῖται R 8 Ὧι γε E: ὥστε B (sscr) Λ² (in ras) WROv ὅτι ABΣS add φησὶν ante ἢ W ἢ E ἐκ κακίας: τῆς κακίας v εἰς κακίαν RO 9 ἤ, εἰ: εἴη E 10 ἔμπαθες v 12–13 τινὰ post ταλάντων coll ΣES om O 13–14 κοδράτου W¹ 14 τινός: ἑνός ΣES ἐστὶ τὸ ἔσχατον coll ΣES ἐν νομίσμασι: ἓν νόμισμα E 15 κρίσιν δικαίαν coll O ἐξιέναι W 16 ἀπαιτήσεως: ἀποτίσεως Λ² οὐδὲν ABΣS 16–17 σμικροτάτων Λv 17–18 τὸ εὐαγγέλιον εἶπεν om RO 18–19 παραδεδόσθαι O 19 τὸ ὑπόχρεον O ὑπόχρεω R 19–76.1 ἕως … ὀφειλόμενον om Λ adscr in mg Λ² 19 ἀποδῷ ante φησὶ coll Λ²W post πᾶν coll B πᾶν om S

τὸ ὀφειλόμενον - ὅπερ οὐδὲν ἕτερόν ἐστιν ἢ διὰ τῆς βασάνου τὴν ἀναγκαίαν ὀφειλὴν ἀποτίσαι, τὸ ὄφλημα τῆς τῶν λυπηρῶν μετουσίας, ᾧ παρὰ τὸν βίον ὑπόχρεως ἐγένετο ἀμιγῆ τε καὶ ἄκρατον τοῦ ἐναντίου τὴν ἡδονὴν ὑπὸ ἀβουλίας ἑλόμενος - καὶ οὕτως ἅπαν ἀποθέμενος τὸ ἀλλότριον ἑαυτοῦ, ὅπερ ἐστὶν ἡ ἁμαρτία, καὶ τὴν ἐκ τῶν ὀφλημάτων αἰσχύνην ἀποδυσάμενος ἐν ἐλευθερίᾳ τε καὶ παρρησίᾳ γένηται. ἡ δὲ ἐλευθερία ἐστὶν ἡ πρὸς τὸ ἀδέσποτόν τε καὶ αὐτοκρατὲς ἐξομοίωσις, ἡ κατ' ἀρχὰς μὲν ἡμῖν ὑπὸ τοῦ θεοῦ δεδωρημένη, συγκαλυφθεῖσα δὲ τῇ τῶν ὀφλημάτων αἰσχύνῃ· πᾶσα δὲ ἐλευθερία μία τίς ἐστι τῇ φύσει καὶ πρὸς ἑαυτὴν οἰκείως ἔχει· ἀκολούθως οὖν πᾶν τὸ ἐλεύθερον τῷ ὁμοίῳ συναρμοσθήσεται· ἀρετὴ δὲ
104M ἀδέσπο|τον· οὐκοῦν ἐν ταύτῃ γενήσεται πᾶν τὸ ἐλεύθερον· ἀδέσποτον γὰρ τὸ ἐλεύθερον. ἀλλὰ μὴν ἡ θεία φύσις ἡ πηγὴ πάσης ἐστὶν ἀρετῆς· ἐν ταύτῃ ἄρα οἱ τῆς κακίας ἀπηλλαγμένοι γενήσονται, ἵνα, καθώς φησιν ὁ ἀπόστολος, Ὁ θεὸς ᾖ τὰ πάντα ἐν πᾶσιν· αὕτη γὰρ ἡ φωνὴ σαφῶς μοι δοκεῖ βεβαιοῦν τὴν προεξητασμένην διάνοιαν ἡ λέγουσα καὶ πάντα γίνεσθαι τὸν θεὸν καὶ ἐν πᾶσι. τῆς γὰρ ἐν τῷ

5–7 cf. Greg. Nyss. Or. cat. 6 (GNO III,4) p. 26,8 7–9 ἐξομοίωσις: cf. Greg. Nyss. Or. cat. 5 (GNO III,4) p. 20,2–5 7–8 τὸ ἀδέσποτόν τε καὶ αὐτοκρατές: cf. e.g. Greg. Nyss. Mort. (GNO IX) p. 54,3–4; Beat. 8 (GNO VII, 2) p. 169,13–14 8–9 δεδωρημένη: cf. e.g. Greg. Nyss. Cant. 2 (GNO VI) p. 55,3–4 11–12 Plat. Rep. 617e3; Greg. Nyss. Op. hom. 16 (PG 44) 184B; Or. dom. 3 (GNO VII,2) p. 37,19–21 13 cf. supra p. 72,16 (πηγή) 14–15 I Cor. 15,28 17 cf. I Cor. 15,28

AB (L)ΛW ROΣE S 2 τοῦ ὀφλήματος RO τὸ ὀφείλημα ΛE 3 ᾧ: ὧν ΛW^{1}Rv ὃς E ὑπόχρεος O 4 ἡδονὴν: δύναμιν O ἅπαν om ΣES 6 ἐν: ἐαν (α fort del) B τε om ΣE 7 γενήσεται S δ' v 8 μὲν om ABΛW^{1}S ἡμῖν post θεοῦ coll AB om S ὑπό: παρὰ Rv περὶ O τοῦ om v 9 δὲ pr om v τῇ: ἡ Λ^1 δὲ alt: δ' Λv 10 add ἐν ante τῇ A 10–11 inde ab ἀκολούθως L 12 add τὸ ante ἀδέσποτον R πᾶν om LΛWΣE 12–13 ἀδέσποτον γὰρ τὸ ἐλεύθερον om A 13 ἡ om BS 14 add τῆς ante ἀρετῆς LΛWRΣEv (scil ἐστὶ ΛWRE et v) sed cf. 72,16 ταύτῃ: αὐτῇ W ἄρα ante ἐν coll RO οἱ sscr L om ΣE 15 ᾖ post 14 ἵνα coll AB ante ὁ θεὸς coll LW om v 16 ἡ alt om W 17 add εἰς ante πάντα v γενέσθαι Lv

παρόντι ζωῆς ποικίλως τε καὶ πολυειδῶς ⟨ἐν⟩ ἡμῖν ἐνεργουμένης πολλά μέν ἐστιν, ὧν μετέχομεν οἷον χρόνου καὶ ἀέρος καὶ τόπου βρώσεώς τε καὶ πόσεως καὶ σκεπασμάτων καὶ ἡλίου καὶ λύχνου καὶ ἄλλων πρὸς τὴν χρείαν τοῦ βίου πολλῶν, ὧν οὐδέν ἐστιν ὁ θεός· ἡ δὲ προσδοκωμένη μακαριότης τούτων μὲν οὐδενός ἐστιν ἐπιδεής, πάντα δὲ ἡμῖν καὶ ἀντὶ πάντων ἡ θεία γενήσεται φύσις πρὸς πᾶσαν χρείαν τῆς ζωῆς ἐκείνης ἑαυτὴν ἁρμοδίως ἐπιμερίζουσα. καὶ τοῦτο δῆλόν ἐστιν ἐκ τῶν θείων λογίων, ὅτι καὶ τόπος γίνεται ὁ θεὸς τοῖς ἀξίοις καὶ οἶκος καὶ ἔνδυμα καὶ τροφὴ καὶ πόσις καὶ φῶς καὶ πλοῦτος καὶ βασιλεία καὶ πᾶν νόημά τε καὶ ὄνομα τῶν πρὸς τὴν ἀγαθὴν ἡμῖν συντελούντων ζωήν· ὁ δὲ πάντα γινόμενος καὶ ἐν πᾶσι γίνεται. ἐν τούτῳ δέ μοι δοκεῖ τὸν παντελῆ τῆς κακίας ἀφανισμὸν δογματίζειν ὁ λόγος· εἰ γὰρ ἐν πᾶσι τοῖς οὖσιν ὁ θεὸς ἔσται, ἡ κακία δηλαδὴ ἐν τοῖς οὖσιν οὐκ ἔσται. εἰ γάρ τις ὑπόθοιτο κἀκείνην εἶναι, πῶς σωθήσεται τὸ ἐν πᾶσι τὸν θεὸν εἶναι; ἡ γὰρ ὑπεξαίρεσις 105 M ἐκείνης ἐλλιπῆ τῶν πάντων ποιεῖ |τὴν περίληψιν· ἀλλ' ὁ ἐν τοῖς πᾶσιν ἐσόμενος ἐν τοῖς μὴ οὖσιν οὐκ ἔσται.

Τί οὖν χρὴ λέγειν, εἶπον, πρὸς τοὺς μικροψύχως περὶ τὰς συμφορὰς διακειμένους;

8 τόπος e.g. Ps. 23,3; οἶκος e.g. Ps. 22,6; II Cor. 5,1 9 ἔνδυμα e.g. Rom. 13,14; Gal. 3,27; τροφή/πόσις e.g. Joh. 6,31–35 et 50–55; φῶς e.g. Joh. 1,4 et 9; 8,12 10 πλοῦτος e.g. Phil. 4,19; Eph. 1,8; βασιλεία e.g. Matth 5,3 12 theologoumenon cf. supra p. 50,2 13 cf. I Cor. 15,28

AB (L)(Λ)W ROΣE S 1 ἐν ante ἡμῖν inseruit Jaeger cf. ex. gr. II Cor 4,12 ἐνεργούσης RO (-σις) 2 καὶ et pr et alt om B 3 add καὶ ante βρώσεως O καὶ post πόσεως om S 4–92.16 πρὸς … ἐρανίζεται om Λ scil deficit exemplar 4 ὁ om ABWΣS 5 τούτων om v 6 πάντα: ταῦτα RO ἡμῖν post πάντων coll RO γενήσεται ἡ θεία coll O πᾶσαν: τὴν S 7 τοῦτου O 8 λόγων Lv 11–78.11 ὁ δὲ … γινόμενον om L 12 add καὶ ante ἐν B παντελεῖ W 13 γὰρ: δὲ S ὁ om AB 14 γάρ: δέ W ὑπόθητοι O 15 ἡ: εἰ A ὑφεξαίρεσις W^1RO 16 ἀνελλειπῆ (ἀν eras W^2) W ἐλειπῆ RO 18–19 εἶπον … διακειμένους om A 18 μικροψύχους W περὶ: πρὸς ΣES om v 18–19 τὰς συμφοράς: ταῖς συμβολαῖς v

Εἴπωμεν, φησί, πρὸς αὐτούς, ἡ διδάσκαλος, ὅτι μάτην, ὦ οὗτοι, δυσανασχετεῖτε καὶ δυσχεραίνετε τῷ εἱρμῷ τῆς ἀναγκαίας τῶν πραγμάτων ἀκολουθίας ἀγνοοῦντες, πρὸς ὅντινα σκοπὸν τὰ καθ' ἕκαστον ἐν τῷ παντὶ οἰκονομούμενα φέρεται, ὅτι πάντα χρὴ τάξει τινὶ καὶ ἀκολουθίᾳ κατὰ τὴν τεχνικὴν τοῦ καθηγεμόνος σοφίαν τῇ θείᾳ προσοικειωθῆναι φύσει. τούτου γὰρ ἕνεκεν ἡ λογικὴ φύσις ἦλθεν εἰς γένεσιν, ὥστε τὸν πλοῦτον τῶν θείων ἀγαθῶν μὴ ἀργὸν εἶναι, ἀλλ' οἷον ἀγγεῖά τινα προαιρετικὰ τὰ τῶν ψυχῶν δοχεῖα παρὰ τῆς τὸ πᾶν συστησαμένης σοφίας κατεσκευάσθη, ἐφ' ᾧτε εἶναί τι χώρημα δεκτικὸν ἀγαθῶν τὸ ἀεὶ τῇ προσθήκῃ τοῦ εἰσχεομένου μεῖζον γινόμενον. τοιαύτη γὰρ ἡ τοῦ θείου ἀγαθοῦ μετουσία, ὥστε μείζονα καὶ δεκτικώτερον ποιεῖν τὸν ἐν ᾧ γίνεται εἰς δυνάμεως καὶ μεγέθους προσθήκην ἀναλαμβανομένη τῷ δεχομένῳ, ὡς ἀεὶ αὔξεσθαι τὸν τρεφόμενον καὶ μὴ λήγειν ποτὲ τῆς αὐξήσεως· τῆς γὰρ πηγῆς τῶν ἀγαθῶν ἀνέκλειπτα πηγαζούσης ἡ τοῦ μετέχοντος φύσις διὰ τὸ μηδὲν τοῦ λαμβανομένου περιττωματικόν τι εἶναι καὶ ἄχρηστον ὅλον τὸ εἰσρέον προσθήκην τοῦ ἰδίου ποιουμένη μεγέθους ἑλκτικωτέρα τε ἅμα τοῦ κρείττονος καὶ πολυχωρητοτέρα γίνεται ἀμφοτέρων ἀλλήλοις συνεπιδιδόντων, τῆς τε τρεφομένης δυνάμεως ἐν τῇ τῶν ἀγαθῶν ἀφθονίᾳ πρὸς τὸ μεῖζον ἐπιδιδούσης

6–11 cf. Greg. Nyss. Or. cat. 5 (GNO III,4) p. 17,1–11 8–11 ἀγγεῖα: cf. Greg. Nyss. Pulcher. (GNO IX) p. 472,2–4 11–79.3 epektasis: cf. Greg. Nyss. Perf. (GNO VIII,1) p. 213,19–214,6; Vit. Moys. (GNO VII,1) p. 112,16–113,2 20 ἀφθονία Plat. Tim. 29e2; Greg. Nyss. Op. hom. 16 (PG 44) 184A

AB (L)W ROΣE S 1 πρὸς αὐτοὺς post διδάσκαλος coll O ante φησὶν coll v 2 δυσχεραίνεται W τῶν om v 3 ἀγροοῦντες O ἔννοουντες B τὰ ante 4 οἰκονομούμενα coll ABW[1] 4 ὅτι: ἔτι O 7 ὥστε: ὡς WROv 8 post τινα add καὶ ABS τὰ WΣS: om cett v 9 κατεσκάσθη v ἐφ' ὅτε B τι: τὸ O 9–10 τινα χωρήματα δεκτικὰ sscr B[2] 10 τὸ: τῶ W[1] ἐκχεομένου E ἐγχεομένου R 11 γενόμενον O ἀγαθοῦ θείου coll O 12 εἰς: ἐκ LRv ἐκ ex εἰς vel εἰς ex ἐκ corr W[2] 13 ἀεὶ: ἂν v 15–20 ἀνέκλειπτα ... ἀγαθῶν om B 16 τι: τε Lv 17 ἄχριστον O εἰρέον A ποιουμένου v 18 τε sscr W κρείττο O πολυχωροτέρα RO 19 τε om R τρεφομένης: φυομένης O 20 ἐν: ἐπὶ ROΣE

καὶ τῆς τρεφούσης χορηγίας τῇ τῶν αὐξανομένων ἐπιδόσει συμπλημμυρούσης. ἔστιν οὖν εἰκὸς εἰς τοιοῦτον ἀναβήσεσθαι μέγεθος, ἐφ' ὧν ὅρος οὐδεὶς ἐπικόπτει τὴν αὔξησιν. εἶτα τοιούτων ἡμῖν προκειμένων χαλεπαίνετε διὰ τῆς τεταγμένης ἡμῖν ὁδοῦ πρὸς τὸν ἴδιον σκοπὸν προϊούσης τῆς φύσεως; οὐ γὰρ ἔστιν ἄλλως ἐπ' ἐκεῖνα γενέσθαι τὸν δρόμον ἡμῖν μὴ τοῦ βαροῦντος ἡμᾶς, τοῦ ἐμβριθοῦς λέγω τούτου καὶ γεώδους φορτίου, τῆς ψυχῆς ἡμῶν ἀποσεισθέντος τῆς τε πρὸς αὐτὸ συμπαθείας, ἣν ἐν τῷδε τῷ βίῳ ἐσχήκαμεν, διὰ κρείττονος ἐπιμελείας ἐκκαθαρθέντας ἐν τῷ καθαρῷ δυνηθῆναι προσοικειωθῆναι τὸ ὅμοιον. εἰ δέ σοί τις καὶ πρὸς τὸ σῶμα τοῦτο σχέσις
108 M ἐστὶ καὶ λυπεῖ σε ἡ τοῦ ἀγαπωμένου | διάζευξις, μηδὲ τοῦτό σοι ἀπ' ἐλπίδος ἔστω· ὄψει γὰρ τοῦτο τὸ σωματικὸν περιβόλαιον τὸ νῦν διαλυθὲν τῷ θανάτῳ ἐκ τῶν αὐτῶν πάλιν ἐξυφαινόμενον οὐ κατὰ τὴν παχυμερῆ ταύτην καὶ βαρεῖαν κατασκευήν, ἀλλ' ἐπὶ τὸ λεπτότερόν τε καὶ ἀερῶδες μετακλωσθέντος τοῦ νήματος, ὥστε σοι καὶ παρεῖναι τὸ ἀγαπώμενον καὶ ἐν ἀμείνονι καὶ ἐρασμιωτέρῳ τῷ κάλλει πάλιν ἀποκαθίστασθαι.

6 ὁ δρόμος: cf. supra p. 64,2–3 spectat ad Platonem cf. supra ad p. 64,3–4 et infra ad p. 87,1 (βρίσασαν) et p. 88,16 (βαρήσει) 11 cf. Plat. Phaed. 88b8 12–13 περιβόλαιον/ἐξυφαινόμενον: imagines Platonicae cf. Plat. Crat. 400c6; Greg. Nyss. Vit. Moys. (GNO VII,1) p. 83,16–22 et p. 98,24; Plat. Phaed. 87b4–e5; Tim. 41d1–2; Greg. Nyss. Melet. (GNO IX) p. 454,13–455,2 13 διαλυθέν: cf. Plat. Phaed. 80b1–c4; 88b1 13–15 imagine persimili usus est Greg. Nyss. Vit. Moys. (GNO VII,1) p. 98,23–99,9

AB LW ROΣE S 1 τῆς τρεφούσης: στρεφούσης O τῇ om O αὐξομένων R ἐπιδώσει A 1–2 συμπληρούσης E 2 εἰς τοιοῦτον om RO 3 ὧν: ὃν BLv ᾧ W οὗ R ἐπισκόπτει B τοιοῦτον B 4 χαλεπαίνεται LO ἡμῖν om W 5 ἐπ' ἐκεῖνα BRS: ἐπέκεινα cett v 5–6 γίνεσθαι W ποιεῖσθαι A 6 ἡμῖν: ἡμῶν S μὴ om E 7 φόρτου LW 8 αὐτὸν W[1] τῷδε τῷ: τῶ τῇδε ROΣE 9 ἐκκαθαρθέντος W[1] ἐκκαθαρθέντες S ἐγκαθαρθέντας v 10 τούτου O 11 λυπῇ σε L λυπῆσαι W (sed corr) ἠγαπημένου v 12 ἔσται v τὸ alt: τὸν v τὰ O 13 et οὐ et 14 ἀλλ' om RO κατὰ: καὶ R 14–15 λεπτομερόν R 15 νοήματος L 16 τῷ om LWv

Ἀλλ' ἔοικέ πως, εἶπον, ἐξ ἀκολουθίας ἡμῖν τὸ δόγμα τῆς ἀναστάσεως ἐπεισεληλυθέναι τῷ λόγῳ, ὅ μοι δοκεῖ δεῖν ἀληθὲς μὲν καὶ πιστὸν ἐκ τῆς τῶν γραφῶν διδασκαλίας εἶναι μὴ ἀμφιβάλλειν· ἐπεὶ δέ πως ἡ ἀσθένεια τῆς ἀνθρωπίνης διανοίας τοῖς χωρητοῖς ἡμῖν λογισμοῖς μᾶλλον πρὸς τὴν τοιαύτην πίστιν ἐπιστηρίζεται, καλῶς ἂν ἔχοι μηδὲ τοῦτο τὸ μέρος παραδραμεῖν ἀθεώρητον. τί οὖν χρὴ λέγειν, ἐπισκεψώμεθα.

Καὶ ἡ διδάσκαλος, Οἱ μὲν ἔξω, φησί, τῆς καθ' ἡμᾶς φιλοσοφίας ἐν διαφόροις ὑπολήψεσιν ἄλλος ἄλλως ἐν μέρει τινὶ τοῦ κατὰ τὴν ἀνάστασιν ἐφήψαντο δόγματος οὔτε δι' ἀκριβείας τοῖς ἡμετέροις συνενεχθέντες οὔτε πάντῃ τῆς τοιαύτης ἀποσφαλέντες ἐλπίδος· τινὲς μὲν γὰρ ὑβρίζουσι τῇ κοινότητι τὸ ἀνθρώπινον τὴν αὐτὴν ἀνὰ μέρος ἀνθρώπου τε καὶ ἀλόγου ψυχὴν διοριζόμενοι γίνεσθαι μετενδυομένην τὰ σώματα καὶ πρὸς τὸ ἀρέσκον ἀεὶ μεταβαίνουσαν ἢ πτηνὸν ἢ ἔνυδρον ἢ χερσαῖόν τι ζῷον γινομένην μετὰ τὸν ἄνθρωπον καὶ πάλιν ἀπὸ τούτων πρὸς τὴν ἀνθρωπίνην ἐπανιέναι φύσιν,

8 οἱ ἔξω cf. Greg. Nyss. Op. hom. 28 et 29 (PG 44) 229B–240B (de generatione animae) 12–16 metempsychosis solum usque ad animalia: cf. Greg. Nyss. Op. hom. 28 (PG 44) 232A; Pythag. Test. 1 (ed. Diels / Kranz); Emped. Frg. B117 (ed. Diels / Kranz); Orph. Frg. 224b (ed. Kern); Plat. Phaed. 81e6–82b8, Plat. Phaedr. 249b3–5; Tim. Locr. 86 (ed. Marg); Calc. Tim. 197 (ed. Waszink, p. 218,8–12) 16 et 81.5 πάλιν scil. reincarnationis: cf. Plat. Phaed. 70c8–9; 71b1; 72a8, b3, c7

AB LW ROΣE S 1 εἶπον ante ἡμῖν coll O om R ex εἶπεν corr L τὰ δόγματα τὰ W 2 ἐπισεληλυθέναι L ὅ μοι: ἐμοὶ E δεῖν: ἰδεῖν v om RO 3 εἶναι: ἵνα v μὴ om O ἀμφιβάλλῃ v 4 ἐπεὶ δὲ: ἐπειδὴ Lv ἐπειδὴ δὲ ABS χωρητικοῖς ROΣE ἡμῶν RO 5 τὴν om v 6 τούτου O 7 περισκεψώμεθα Lv 9 ἄλλος: ἄλλως Σ ἄλλως: ἄλλω W[1]ΣES ἐν alt Monac gr 192: om codd v 10 ἐφήψατο AΣ ἐψηφίσαντο B add ἡ (ultima litt lineae) ante ἡμετέριος O 11 συνεχθέντες O 13 ὁριζόμενοι S 15 μετὰ om E 16 φύσιν: ζωὴν S

ἕτεροι δὲ καὶ μέχρι τῶν θάμνων τὸν τοιοῦτον λῆρον ἐκτείνουσιν, ὡς καὶ τὸν ξυλώδη βίον αὐτῇ κατάλληλόν τε καὶ οἰκεῖον νομίζειν, τοῖς δὲ τοῦτο δοκεῖ μόνον τὸ ἐξ ἀνθρώπου ἕτερον ἄνθρωπον ἀεὶ μεταλαμβάνειν καὶ διὰ τῶν αὐτῶν πάντοτε τὸν ἀνθρώπινον διεξάγεσθαι βίον νῦν μὲν ἐν τούτοις, πάλιν δὲ ἐν ἑτέροις τῶν αὐτῶν ψυχῶν εἰς τὸ διηνεκὲς γινομένων· ἡμεῖς δὲ καλῶς ἔχειν φαμὲν ἐκ τῶν ἐκκλησιαστικῶν δογμάτων ὁρμώμενοι τοσοῦτον παραδέξασθαι μόνον τῶν τὰ τοιαῦτα πεφιλοσοφηκότων, ὅσον συμφωνοῦντας αὐτοὺς τρόπον τινὰ δεῖξαι τῷ τῆς ἀναστάσεως δόγματι· τὸ γὰρ λέγειν αὐτοὺς πάλιν τισὶν ἐπεισκρίνεσθαι σώμασι μετὰ τὴν ἀπὸ τούτων διάλυσιν τὴν ψυχὴν οὐ λίαν ἀπᾴδει τῆς ἐλπιζομένης ἡμῖν ἀναβιώσεως· ὅ τε γὰρ ἡμέτερος λόγος ἐκ τῶν τοῦ κόσμου στοιχείων νῦν τε καὶ εἰσαῦθις
109 M τὸ σῶμα ἡμῶν συνίστασθαι λέγει καὶ τοῖς ἔξω|θεν τὸ ἴσον δοκεῖ· οὐ γὰρ ἂν ἄλλην τινὰ τοῦ σώματος ἐπινοήσαιεν φύσιν ἔξω τῆς συνδρομῆς τῶν στοιχείων. διαφέρει δὲ τοσοῦτον, ὅσον παρ' ἡμῶν μὲν τὸ

1–2 metempsychosis μέχρι τῶν θάμνων: cf. Emped. Frg. B117 (ed. Diels / Kranz); cf. Greg. Nyss. Op. hom. 28 (PG 44) 232A; cf. Orig Contra haer. I 3 (PG 16,3) 3028B–C; Nemes. Emes. Nat. hom. 2 (ed. Morani, p. 34,20–21); Waszink, Tertullian, p. 384–385; Wright, Empedocles, p. 139 ad Frg. 108 2–6 metempsychosis solum de homine ad hominem: cf. Iambl. apud Nemes. Emes. Nat. hom. 2 (ed. Morani, p. 35,7–11); Orph. Frg. 224a (ed. Kern); Plat. Phaed. 72a4–8, d6–10, Phaedr. 248c5–d3 6–82.6 cf. Greg. Nyss. Vit. Moys. (GNO VII,1) p. 44,11–15 8–11 συμφωνία: cf. Min. Fel. 34,6–8; Meth. Res. I 52,3 (ed. Bonwetsch, p. 309,19–310,1); Aug. Civ. XXII 28; Athenag. Leg 36,3 (ed. Schoedel, p. 86); et al. cf. Meissner, p. 338 ann. 52 11 ἀναβίωσις: cf. Plat. Phaed. 71e13, e14, 72a1–2, c8, d8; Plat. Rep. 614b7; Meth. Res. I 52,3 (ed. Bonwetsch, p. 309,19–310,1) 11–13 cf. Plat. Tim. 43e7–44a6

AB LW ROΣE S 1 καὶ om v 2 αὐτῇ A αὐτοὶ O 3 τούτου O 5 δὲ om O 6–7 ἐκκλησιστικῶν B 7–8 τοὺς … πεφιλοσοφηκότας S 8 τὰ om v συμφωνοῦν τοὺς αὐτοὺς O 9 τῷ: τὸ B om O 10 σώμασι: δόγμασι v τούτου Sv διάλυσιν: διάζευξιν Monac gr 192 11 ἀναβιώσεως: ἀναστάσεως S ὅ τε: ὅτι v 12 αὖθις W 13 τὸ alt om ΣE 14 ἂν om Ov ἐπινοήσεις v 14–15 δρομῆς v 15–82.1 λέγεσθαι τὸ αὐτὸ coll S

αὐτὸ λέγεσθαι πάλιν περὶ τὴν αὐτὴν ψυχὴν συμπήγνυσθαι σῶμα ἐκ τῶν αὐτῶν στοιχείων συναρμοζόμενον, ἐκείνους δὲ οἴεσθαι πρὸς ἄλλα τινὰ σώματα λογικά τε καὶ ἄλογα καὶ ἀναίσθητα τὴν ψυχὴν μεταπίπτειν, οἷς τὸ μὲν ἐκ τῶν τοῦ κόσμου μερῶν εἶναι τὴν σύστασιν ὁμολογεῖται, διαφωνεῖ δὲ τὸ μὴ ἐκ τῶν αὐτῶν οἴεσθαι τῶν καὶ κατ' ἀρχὰς ἐν τῇ διὰ σαρκὸς ζωῇ τῇ ψυχῇ προσφυέντων. οὐκοῦν τὸ μὲν μὴ ἔξω τοῦ εἰκότος εἶναι τὸ πάλιν τὴν ψυχὴν ἐν σώματι γενέσθαι παρὰ τῆς ἔξω φιλοσοφίας μεμαρτυρήσθω, τὸ δὲ ἀσύστατον τοῦ κατ' αὐτοὺς δόγματος καιρὸς ἂν εἴη διασκοπήσασθαι, καὶ δι' αὐτῆς δὲ τῆς κατὰ τὸ εὔλογον ἀνακυπτούσης ἡμῖν ἀκολουθίας φανερῶσαι ῥᾳδίως ἐστὶ δυνατὸν τὴν ἀλήθειαν. τίς οὖν ὁ περὶ τούτων λόγος; οἱ πρὸς διαφόρους φύσεις τὴν ψυχὴν μετοικίζοντες συγχεῖν μοι δοκοῦσι τὰς τῆς φύσεως ἰδιότητας καὶ πάντα χρήματα καταμιγνύειν τε καὶ ἀναφύρειν πρὸς ἄλληλα, τὸ ἄλογον, τὸ λογικόν, τὸ αἰσθητικόν, τὸ ἀναίσθητον, εἴπερ ἐν ἀλλήλοις ταῦτα γένοιτο μηδενί τινι φύσεως εἱρμῷ κατὰ τὸ ἀμετάπτωτον ἀπ' ἀλλήλων διατειχιζόμενα· τὸ γὰρ τὴν αὐτὴν ψυχὴν λέγειν νῦν μὲν λογικήν τε καὶ διανοητικὴν διὰ τῆς τοιᾶσδε τοῦ σώματος περιβολῆς γίνεσθαι, πάλιν δὲ μετὰ τῶν ἑρπετῶν φωλεύειν ἢ τοῖς ὀρνέοις συναγελάζεσθαι ἢ ἀχθοφορεῖν ἢ σαρκοβορεῖν ἢ ὑποβρύχιον εἶναι ἢ καὶ πρὸς τὸ ἀναίσθητον μεταπίπτειν ῥιζουμένην τε καὶ ἀποδενδρουμένην καὶ

1–7 πάλιν scil. resurrectionis cf. supra p. 80,16 (πάλιν) et 81,5 (πάλιν)

AB LW ROΣE S 1 αὐτὴν om v 3 add τὰ ante λογικά E 4 καταπίπτειν v τὸ: τὰ O 5 ὁμογεῖται B ὡμολόγηται RO διαφωνεῖν R καὶ om LROv 7 εἰκότως O πάλιν: πάλαι S add τῷ ante σώματι RO 8 γίνεσθαι WO παρὰ: περὶ O 9 κατ' αὐτὸν O ἐκείνων v διασκορπίσασθαι v 10 δὲ om RO τῆς om E 11 ῥᾳδίως: ὡς W (ῥαδί eras) ROE δυνατὸν om O τῇ ἀληθείᾳ W²O 12 add ὁ ante λόγος B 13 συγχέειν ΣES συσχεῖν v φύσεως: ψυχῆς RO πάντα χρήματα: πάντα χρὴ Lv πανταχῇ W²ROΣS πάντα E 14 τε: γε O ἀναφέρειν O ἀναφύειν A 14–15 λογικὸν τὸ ἄλογον coll E τῷ λογικῷ O 15 αἰσθητὸν ΣES γίνοιτο W 16 μηδὲ Lv τινι: τῆς S 16–17 διατοιχιζόμενα A διαστοιχιζόμενα v 17 αὐτὴν τὴν coll O 18 τοιᾶσδε: τοιαύτης RO περιβολῆς ante τοῦ coll WRO 20 ἀχθοφορῶν O καὶ om W τὸ om O 21 ῥιζωμένην O

κλάδων ἐκφύσεις ἀναβλαστάνουσαν καὶ ἐν τούτοις ἢ ἄνθος ἢ ἄκανθαν ἢ τρόφιμόν τι φυομένην ἢ δηλητήριον οὐδὲν ἕτερόν ἐστιν ἢ ταὐτὸν ἡγεῖσθαι τὰ πάντα καὶ μίαν ἐν τοῖς οὖσι τὴν φύσιν ἐν συγκεχυμένῃ τινὶ καὶ ἀδιακρίτῳ κοινότητι πρὸς ἑαυτὴν πεφυρμένην μηδεμιᾶς ἰδιότητος τὸ ἕτερον τοῦ ἑτέρου ἀποκρινούσης. ὁ γὰρ λέγων τὸ αὐτὸ ἐν παντὶ γίνεσθαι οὐδὲν ἕτερον ἢ ἓν εἶναι τὰ πάντα βούλεται τῆς ἐμφαινομένης διαφορᾶς τοῖς οὖσιν οὐδὲν πρὸς τὴν ἐπιμιξίαν τῶν ἀκοινωνήτων ἐμποδιζούσης, ὡς ἀνάγκην εἶναι, κἄν τι
112 M τῶν ἰοβόλων καὶ σαρκοβόρων θεάσηται, ὁμόφυ|λον νομίζειν ἑαυτῷ καὶ συγγενὲς τὸ φαινόμενον· οὐδὲ τὸ κώνειον ὁ τοιοῦτος ὡς ἀλλότριον τῆς ἰδίας ὄψεται φύσεως, εἴπερ βλέπει καὶ ἐν φυτοῖς τὸ ἀνθρώπινον, ἀλλ' οὐδὲ πρὸς αὐτὸν ἀνυπόπτως ἕξει τὸν βότρυν τὸν ἐπὶ τῇ χρείᾳ τῆς ζωῆς γεωργούμενον· καὶ γὰρ καὶ οὗτος τῶν φυομένων ἐστίν, φυτὰ δὲ ἡμῖν καὶ τὰ τῶν ἀσταχύων γενήματα, δι' ὧν τρεφόμεθα· πῶς οὖν ἐπάξει τὴν δρεπάνην τῇ τῶν ἀσταχύων τομῇ; πῶς δὲ ἀποθλίψει τὸν βότρυν ἢ ἀνορύξει τῆς ἀρούρας τὴν ἄκανθαν ἢ τὸ ἄνθος δρέψεται ἢ θηρεύσει τοὺς ὄρνιθας ἢ ἀπὸ ξύλων ἀνακαύσει πυρὰν ἄδηλον ὄν, εἰ μὴ κατὰ συγγενῶν ἢ προγόνων ἢ ὁμοφύλων ἡ χεὶρ φέρεται καὶ διὰ τοῦ σώματος αὐτῶν ἢ τὸ πῦρ ἀνάπτεται ἢ ὁ κρατὴρ κίρναται ἢ ἡ τροφὴ παρασκευάζεται; τῷ γὰρ

6 cf. Anaxag Frg. B11, B12 (ed. Diels / Kranz); schol. in Greg. Naz. (PG 36) 911 (f. 149^r) ad or. 43, 521; Plat. Phaed. 72c3–5   15–20 de paradoxis cibi: cf. Emped. B136, B137 (ed. Diels / Kranz); Calc. Tim. 197 (ed. Waszink, p. 218,13–219,2); de Pythagora cf. Xenophan. Frg. B7 (ed. Diels / Kranz); Ovid. Met. 15,75 f. et 88–90 et al; Tertul. Apol. 48,1

AB LW ROΣE S   1 ἐκφυήσεις E   2 ἀκάνθην v   ἐστιν om W^1 ἐστιν ἕτερον coll R   3 εἶναι post οὖσιν add Lv post φύσιν add RO   4 κοινωνίᾳ Lv   πρὸς ἑαυτὴν om Lv   συμπεφυρμένην ΣES πεφυραμένην RO (α ex ω corr)   5 καὶ ante μηδεμιᾶς add W^1 6 γενέσθαι W (sed corr) R   7 βούλεται: ἐντελεται B   ἐμφυομένης E   τὴν om ABLv   8 ἀνάγκη O   9 καὶ: ἢ ΣES   10–11 ὡς ἀλλότριον ante ὁ coll S   11 βλέποι R   13 καὶ alt om R   οὗτος: αὐτὸς LRv αὐτοὶ O   14 γεννήματα WRv   15 τῇ τῶν om v   16 ἀνορέξει L   17 δρέψηται R θρέψει Ov   θηρεύσῃ O   20 ὁ om RO   ἡ om RO   20–84.1 τῷ … [δι'] ἕκαστον coni Jaeger: τὸ … δι' ἕκαστον (ἑκάστῳ B ἑκάστου S) codd v

οἴεσθαι [δι'] ἕκαστον τούτων τὴν ψυχὴν τοῦ ἀνθρώπου γίνεσθαι, σημεῖα δὲ μὴ ἐπικεῖσθαι, ποῖον μὲν τὸ ἐξ ἀνθρώπου φυτὸν ἢ ζῷον, ποῖον δὲ τὸ ἑτέρως γενόμενον, πρὸς πάντα κατὰ τὸ ἴσον ὁ τῇ τοιαύτῃ προειλημμένος ὑπολήψει διατεθήσεται, ὡς κατ' ἀνάγκην ἢ καὶ κατ' αὐτῶν τῶν ἐν τῇ φύσει ζώντων ἀνθρώπων ἀπηνῶς ἔχειν ἤ, εἴπερ ἐπὶ τῶν ὁμοφύλων πρὸς φιλανθρωπίαν ἐκ φύσεως ῥέποι, ὁμοίως αὐτὸν διακεῖσθαι πρὸς πᾶν ἔμψυχον κἂν ἐν ἑρπετοῖς κἂν ἐν θηρίοις τύχῃ· ἀλλὰ κἂν ἐν ὕλῃ δένδρων γένηται, ὁ τὸ δόγμα τοῦτο παραδεξάμενος δῆμον ἀνθρώπων τὰ δένδρα οἰήσεται. τίς οὖν ὁ τοῦ τοιούτου βίος ἢ πρὸς πάντα εὐλαβῶς διὰ τὸ ὁμόφυλον ἢ καὶ πρὸς τοὺς ἀνθρώπους ἀπηνῶς διὰ τὴν ἐπὶ τῶν ἄλλων ἀδιαφορίαν ἔχοντος; οὐκοῦν ἀπόβλητος ἐκ τῶν εἰρημένων ὁ τοιοῦτος ἂν εἴη λόγος πολλῶν καὶ ἄλλων τῆς τοιαύτης ἡμᾶς ὑπολήψεως κατὰ τὸ εὔλογον ἀπαγόντων· ἤκουσα γὰρ τῶν τὰ τοιαῦτα δογματιζόντων, ὅτι ἔθνη τινὰ τῶν ψυχῶν ὑποτίθενται ἐν ἰδιαζούσῃ τινὶ πολιτείᾳ πρὸ τῆς ἐν σώματι ζωῆς βιοτεύοντα ἐν τῷ λεπτῷ τε καὶ εὐκινήτῳ τῆς φύσεως ἑαυτῶν τῇ τοῦ παντὸς συμπεριπολοῦντα δινήσει, ῥοπῇ δέ τινι τῇ πρὸς κακίαν πτερορρυούσας τὰς ψυχὰς ἐν σώμασι γίνεσθαι, πρῶτον μὲν ἀνθρωπίνοις, εἶθ' οὕτως διὰ τῆς πρὸς τὰ ἄλογα τῶν παθῶν ὁμιλίας μετὰ τὴν τοῦ ἀνθρωπίνου βίου ἐκχώρησιν

14–91.14 imit. Plat. Phaed. (hypothesin primam) 70c4–72e2; cf. Meissner, p. 338–341   14–85.9 imit. Plat. Phaedr. 246b1–247c2; 248a1–d2; cf. Greg. Nyss. Op. hom. 28 (PG 44) 229B–233C   15 ἔθνη ψυχῶν: cf. Hom. Od. 11,631   πολιτεία: cf. Plat. Rep. 619c7

AB LW ROΣE S   1 post γίνεσθαι add φυτὸν ἢ ζῷον ABLWΣSv   2 σημεῖον BS   σημεῖα ... ζῷον om A   τὸ: τὸν L   3 γινόμενον Ov   4 ὡς: πως S   5 καὶ om BWR   τῶν om A   ἔχει L   7 αὐτῶν O   ἐν om R   κἂν pr: καὶ RO   8 τύχῃ R: τύχοι cett (sed corr O) v   ἀλλὰ κἂν: ἀλλ' ου κἂν A   δένδρον γίνεται v   9 περιδραξάμενος O   δῆμον: ἡ μὲν B   τοῦ om LW¹REv   10 τοιοῦτος LW¹v τούτου E   13 πολλῶν ... ὑπολήψεως om A   ἡμᾶς om B   14 τὰ om WOv   15 ὑποτίθεται L ἀποτίθεται v   15–16 πρὸς τὴν ... ζωὴν Lv   17 ἑαυτῶν: αυτῶν E (ἑ sscr) αὐτῶν AS   συμπεριπολοῦντος v   18 πτερούσας O πτερορροούσας Lv   σώματι RO (-τι vel -σι) v   19 ἀνθρώποις Ov   τῆς: τὰς AB   20 τὴν om v   ἐγχώρησιν Lv

ἀποκτηνοῦσθαι κἀκεῖθεν μέχρι τῆς φυτικῆς ταύτης καὶ ἀναισθή- 113 M του καταπί|πτειν ζωῆς, ὡς τὸ τῇ φύσει λεπτὸν καὶ εὐκίνητον, ὅπερ ἐστὶν ἡ ψυχή, πρῶτον μὲν ἐμβριθές τε καὶ κατωφερὲς γίνεσθαι τοῖς ἀνθρωπίνοις σώμασι διὰ κακίας εἰσοικιζόμενον, εἶτα τῆς λογικῆς δυνάμεως ἀποσβεσθείσης τοῖς ἀλόγοις ἐμβιοτεύειν, ἐκεῖθεν δὲ καὶ τῆς τῶν αἰσθήσεων χάριτος ἀφαιρεθείσης τὴν ἀναίσθητον ταύτην ζωὴν τὴν ἐν φυτοῖς μεταλαμβάνειν, ἀπὸ τούτου δὲ πάλιν διὰ τῶν αὐτῶν ἀνιέναι βαθμῶν καὶ πρὸς τὸν οὐράνιον χῶρον ἀποκαθίστασθαι. τὸ δὲ τοιοῦτον δόγμα τοῖς καὶ μετρίως κρίνειν ἐπεσκεμμένοις αὐτόθεν ἐλέγχεται μηδεμίαν ἔχον ἐν ἑαυτῷ στάσιν· εἰ γὰρ ἀπὸ τῆς οὐρανίας ζωῆς διὰ κακίας ἐπὶ τὸν ξυλώδη βίον ἡ ψυχὴ κατασύρεται, ἀπὸ τούτου δὲ πάλιν δι' ἀρετῆς ἐπὶ τὸν οὐράνιον ἀνατρέχει, εὑρίσκεται ὁ λόγος αὐτῶν ἀπορῶν, ὅ τι προτιμότερον οἴεται εἴτε τὴν ξυλίνην εἴτε τὴν οὐρανίαν ζωήν. κύκλος γάρ τίς ἐστι διὰ τῶν ὁμοίων περιχωρῶν ἀεὶ τῆς ψυχῆς ἐν ᾧπερ ἂν ᾖ ἀστατούσης· εἰ γὰρ ἐκ τῆς ἀσωμάτου ζωῆς πρὸς τὴν σωματικὴν καταφέρεται, ἐκ δὲ ταύτης πρὸς τὴν ἀναίσθητον, ἐκεῖθεν δὲ πάλιν πρὸς τὸ ἀσώματον ἀνατρέχει, οὐδὲν ἕτερον ἢ ἀδιάκριτος κακῶν τε καὶ ἀγαθῶν σύγχυσις παρὰ τοῖς ταῦτα δογματίζουσιν ὑπονοεῖται· οὔτε γὰρ ἡ οὐρανία διαγωγὴ ἐν τῷ μακαρισμῷ διαμενεῖ, εἴπερ κακία τῶν ἐκεῖ ζώντων καθάπτεται, οὔτε τὰ ξύλα τῆς ἀρετῆς ἀμοιρήσει, εἴπερ

8 βαθμοί: cf. Plat. Conv. 211c2   9–87.1 cf. Greg. Nyss. Op. hom. 28 (PG 44) 232D–233B

AB LW ROΣE S   1 post μέχρι add καὶ R   φυσικῆς Av   2 ἀκίνητον O   4 ἀνθρώποις O   6 post τῆς add τοιαύτης v   ταύτην: τότε S   7 τούτων R   8 τὸν om v   9 τοιοῦτο Σ   ἐπισκεμμένοις O   10 ἐλέχεται O   ἔχων BO ἔχειν v   ἑαυτοῖς v   11 οὐρανίου RO κακίαν B   ὑλώδη S   12 πάλιν: πᾶσαν A   δι': ἀπὸ B   οὐρανὸν ΑΒΣES   13 αὐτῶν: ἑαυτὸν S   ὅ τι: τί W   προτιμοτέραν RO (-μω)   οἰήσεται ΣES   εἴτε om RO   14 ξυλώδη AB ὑλικὴν S   εἴτε: ὑπὲρ RO   οὐράνιον O   τίς om OE   15 εἰ: ἡ L   16 σωματικὴν: ζωὴν O   καταφέρεται: ἀναπίπτει v   ἐκ δὲ: καὶ ἐκ v   17 τὸ: τὴν Rv   19 παρὰ: περὶ O   20 οὐράνιος RO   διαμενεῖ Langerbeck praecendente Sifano 'permanebit': διαμένει (-βαίνει S) codd v   ἡ κακία O ἐν κακίᾳ R   20–21 τῶν ζώντων ἐκεῖ ΣES   21 ἀμοιρήσειεν RO (εὐμ-)

ἐντεῦθεν μὲν ἐπὶ τὸ ἀγαθὸν παλινδρομεῖν οἴονται τὴν ψυχήν, ἐκεῖθεν δὲ τοῦ κατὰ κακίαν ἄρχεσθαι βίου. εἰ γὰρ τῷ οὐρανῷ ἡ ψυχὴ συμπεριπολοῦσα τῇ κακίᾳ συμπλέκεται καὶ διὰ ταύτης ἐπὶ τὸν ὑλώδη καθελκυσθεῖσα βίον ἀνωθεῖται πάλιν ἐντεῦθεν ἐπὶ τὴν ἐν ὕψει διαγωγήν, ἆρα τὸ ἔμπαλιν παρ' ἐκείνων κατασκευάζεται τὸ τὴν μὲν ὑλικὴν ζωὴν κακίας εἶναι καθάρσιον, τὴν δὲ ἀπλανῆ περιφορὰν κακῶν ἀρχηγὸν καὶ αἰτίαν ταῖς ψυχαῖς γίνεσθαι, εἴπερ ἐντεῦθεν μὲν δι' ἀρετῆς πτεροφυήσασαι μετεωροποροῦσιν, ἐκεῖθεν δὲ διὰ κακίας τῶν πτερῶν ἐκπιπτόντων χαμαιπετεῖς καὶ πρόσγειοι γίνονται τῇ παχύτητι τῆς ὑλικῆς καταμιγνύμεναι φύσεως; καὶ οὐ μέχρι τούτων ἵσταται τῶν τοιούτων δογμάτων ἡ ἀτοπία, τὸ ἀντεστράφθαι πρὸς τοὐναντίον τὰς ὑπολήψεις, ἀλλ' οὐδὲ|[116 M] αὐτὴ παγία διαμένει μέχρι παντὸς αὐτοῖς ἡ ὑπόνοια· εἰ γὰρ ἄτρεπτον τὸ οὐράνιον λέγουσι, πῶς ἔχει χώραν ἐν τῷ ἀτρέπτῳ τὸ πάθος; καὶ εἰ ἐμπαθὴς ἡ κάτω φύσις, πῶς ἐν τῷ παθητῷ κατορθοῦται ἡ ἀπάθεια; ἀλλὰ φύρουσι τὰ ἄμικτα καὶ ἑνοῦσι τὰ ἀκοινώνητα, ἐν πάθει τὸ ἄτρεπτον καὶ ἐν τῷ τρεπτῷ πάλιν καθορῶντες τὴν ἀπάθειαν· καὶ οὐδὲ τούτοις εἰς ἀεὶ παραμένουσιν, ἀλλ' ὅθεν τὴν ψυχὴν διὰ κακίας ἀπῴκισαν, ἐκεῖσε πάλιν αὐτὴν ὡς εἰς ἀσφαλῆ καὶ ἀκήρατον ζωὴν ἐκ τῆς ὑλικῆς ἀνοικίζουσιν ὥσπερ ἐπιλαθόμενοι τὸ ἐκεῖθεν αὐτὴν ἐν κακίᾳ

2–10 imit. Plat. Phaedr. 246b6–c3; 247b3–c1; 248c7–8; cf. Greg. Nyss. Op. hom. 28 (PG 44) 232B–233A 8 μετεωροποροῦσιν apud Greg. Nyss. cf. Aubineau, p. 307 ad Virg. 4 (GNO VIII,1) p. 268,18

ABC (inde a 4 τὴν) LW ROΣE S 1 μὲν om O οἰόντε W^2 2 ἀνάρχεσθαι v βίου om v add ἐν ante τῷ ABLΣSv τῶν οὐρανῶν W^2 5 παρασκευάζεται W^1 6 καθάρσιον: κάθαρσιν A (sed corr) v 8 μὲν om v πτερορυήσασα O μετεωροπολοῦσιν ABWS 9 δὲ om A καὶ om v 11 ἵστασθαι W^1 τὴν ἀτοπίαν W^1 τὸ: τῷ LWΣESv 11–12 ἀνεστράπται O 12 αὐτὴ LEv: αὐτη Σ (accent incert) αὕτη ABCW^2 (W non liquet) S ἑαυτῇ R ἑαυτὴν O 13 πάντων v ἀπόνοια O εἰ: ἀεὶ E et pro τὸ scr τὴν et post 14 λέγουσι add φύσιν Cv 14 χώραν ἔχει coll v ἐν om O εἰ: ex ἡ corr W 16 φυροῦσι Ev 17 τρεπτῷ: ἀτρέπτω ΣES 18 add ἐν ante τούτοις ΣE διαμένουσιν v 18–19 ἀπωκισθεῖσαν W^1 ἀπῴκησαν v 19 ἐκεῖσαι W^1O εἰς om v 20 ἐνοικίζουσιν AS ἀποικίζουσιν B ὥσπερ: ὡς C ἐπιλαθόμενοι: οἱ πλαθόμενοι O τὸ: τοῦ W^2S ἐν κακίᾳ: ἡ κακία v

βρίσασαν τῇ κάτω καταμιχθῆναι φύσει. ἥ τε οὖν διαβολὴ τοῦ τῇδε βίου καὶ ὁ τῶν οὐρανίων ἔπαινος ἐν ἀλλήλοις συγχέονται καὶ ἀναφύρονται, τοῦ μὲν διαβεβλημένου κατὰ τὴν ἐκείνων δόξαν πρὸς τὸ καλὸν καθηγουμένου, τοῦ δὲ πρὸς τὸ κρεῖττον ὑπειλημμένου τὴν ἀφορμὴν ἐνδιδόντος τῇ ψυχῇ τῆς πρὸς τὸ χεῖρον ῥοπῆς. οὐκοῦν ἐκβλητέα τῶν τῆς ἀληθείας δογμάτων πᾶσα πεπλανημένη τε καὶ ἀστατοῦσα περὶ τῶν τοιούτων ὑπόληψις μήθ' ὅσοις μεταβαίνειν ἐκ γυναικείων σωμάτων πρὸς τὴν ἀνδρώδη ζωὴν τὰς ψυχὰς δοκεῖ ἢ τὸ ἔμπαλιν ἐν γυναιξὶ γίνεσθαι τὰς τῶν ἀνδρικῶν σωμάτων χωρισθείσας ψυχὰς ἢ καὶ πρὸς ἄνδρας ἐξ ἀνδρῶν μεταβαίνειν καὶ γυναῖκας ἐκ γυναικῶν γίνεσθαι λέγειν, ὡς τῆς ἀληθείας ἐστοχασμένοις ἀκολουθήσωμεν. ὁ μὲν γὰρ πρότερος οὐ μόνον τῷ ἄστατός τε καὶ ἀπαγὴς εἶναι ἀπεδοκιμάσθη λόγος αὐτὸς ἐν ἑαυτῷ πρὸς τὰς ἐναντίας ὑπολήψεις περιτρεπόμενος, ἀλλ' ὅτι καὶ ἀσεβῶς ἔχει μηδὲν τῶν ὄντων εἰς γένεσιν ἄγεσθαι δογματίζων μὴ κακίας τῇ ἑκάστου φύσει τὴν ἀρχὴν ἐνδιδούσης· εἰ γὰρ οὔτε ἄνθρωποι οὔτε φυτὰ οὔτε βοσκήματα μὴ ψυχῆς ἄνωθεν ἐπὶ ταῦτα πεσούσης φύονται, ἡ δὲ πτῶσις διὰ κακίας γίνεται, ἆρα κατάρχειν οἴονται τὴν κακίαν τῆς

1 βρίσασαν: cf. Plat. Phaedr. 246d6, 247b2   7–12 cf. supra p. 55,14–16 γυναῖκες: cf. e.g. Plat. Tim. 90e6–8; Tim. Locr. 86 (ed. Marg); cf. Greg. Nyss. Op. hom. 28 (PG 44) 232A

ABC LW ROΣE S   1 βρύσασαν O βρύσασα v   μιχθῆναι ΣE 2–3 καὶ ἀναφύρονται om A   ἀναφυροῦνται L ἀναφέρονται CO ἀνωφεροῦνται v   3–4 κατὰ … τὴν om O   4 τὸ om LW^1v κρείττονος LW^1v τὴν om R   6 ἐκβλητέα τῶν: ἐκβληταὶ αὐτῶν O ἐκβέβληται τῶν E   7 μήθ' ABCLv: μηδ' ROES μὴ δ' Σ μηδὲ W^2 (ex μηθ')   ὅσοι καταβαίνειν v   post ἐκ add τῶν ΣES   8 δοκεῖ ἤ: δοκείη Lv δοκεῖν O δοκεῖν καὶ R   8–10 ἢ … καὶ pr om O   11 λέγειν: πάλιν W λέγουσιν v   τῇ ἀληθείᾳ AW   ἐστοχασμένοι C -μένως W^2 -μένους v ἠστοχηκόσιν O εἰσηγηκόσιν R   12 ἀκολουθήσομεν $ABCLW^1R\Sigma$ τῷ: τὸ ABW^1RO τε om v   13 ἀπαγὴς: ἀπατηλὸς LROΣEv   add ὁ ante λόγος Lv   ἑαυτῷ: αὐτῷ ΣE   15 add εἰ ante μὴ C   μὴ om Sv ante κακίας add τῆς S add καὶ v   τῇ om RO   16 ἄνθρωπος CRO 17 ἐμπεσούσης v   ἡ: εἰ O   18 ἆρα WΣESv om RO   κατ' ἀρχὴν O

τῶν ὄντων συστάσεως; καὶ πῶς συμβαίνει κατὰ τὸν αὐτὸν ἀμφότερα χρόνον καὶ ἄνθρωπον ἐκ γάμου φύεσθαι καὶ τῆς ψυχῆς
117 M τὴν κατάπτωσιν τῇ τοῦ γά|μου συμβαίνειν σπουδῇ; καὶ τὸ ἔτι τούτου παραλογώτερον· εἰ ἔαρι τὰ πολλὰ τῆς ἀλόγου φύσεως συνδυάζεται, ἆρ' οὖν ἔστιν εἰπεῖν, ὅτι καὶ τῇ ἄνω περιφορᾷ τὸ ἔαρ ἐμφύεσθαι τὴν κακίαν ποιεῖ, ὥστε συμβαίνειν ὁμοῦ τε τοῦ κακοῦ τὰς ψυχὰς πληρουμένας πίπτειν καὶ τὰς γαστέρας τῶν ἀλόγων κυΐσκεσθαι; τί δ' ἂν εἴποι τις περὶ τοῦ γεωπόνου τοῦ καταπηγνύντος τῇ γῇ τὰς τῶν φυτῶν ἀποσπάδας; πῶς ἡ τούτου χεὶρ συγκατέχωσε τῷ φυτῷ τὴν ἀνθρωπίνην ψυχὴν συντρεχούσης τῆς ψυχικῆς πτερορρυήσεως τῇ τοῦ ἀνθρώπου πρὸς τὴν φυτείαν ὁρμῇ; τὸ αὐτὸ τοίνυν ἄτοπον καὶ ἐπὶ τοῦ ἑτέρου τῶν λόγων ἐστὶ τὸ οἴεσθαι τὴν ψυχὴν τὰς συνόδους τῶν ἐν συζυγίᾳ ζώντων περιεργάζεσθαι ἢ τὰς λοχείας ἐπιτηρεῖν, ἵνα τοῖς φυομένοις σώμασιν εἰσκριθῶσιν· εἰ δὲ ἀπείποι ὁ ἀνὴρ τὸν γάμον, ἡ δὲ γυνὴ ἑαυτὴν τῆς τῶν ὠδίνων ἀνάγκης ἐλευθερώσειεν, ἆρ' οὐ βαρήσει τὴν ψυχὴν ἡ κακία; οὐκοῦν ὁ γάμος τῇ ἄνω κακίᾳ τὸ κατὰ τῶν ψυχῶν ἐνδόσιμον δίδωσιν; ἢ καὶ δίχα τούτου καθάπτεται τῆς ψυχῆς ἡ πρὸς τὸ ἐναντίον σχέσις; οὐκοῦν ἄοικος ἐν τῷ μέσῳ καὶ ἀλῆτις ἡ ψυχὴ πεπλανήσεται τῶν

1 cf. Lucr. III,776–780; Hermipp. Astrol. (ed. Kroll / Viereck, p. 60) 5 τῇ ἄνω περιφορᾷ: Plat. Phaedr. 247c1, d5 7 πληρουμένας: cf. Plat. Phaedr. 248c7 11 πτερορρυήσεως: Plat. Phaedr. 246c1–2; 248c1.8, 249a1 et 4, c3 16 βαρήσει: Plat. Phaedr. 246d6, 247b2–4, 248c7 (bis) 19 ἀλῆτις: Emped. Frg. B115,13 (ed. Diels / Kranz); cf. Seng, Synesios, p. 251–253

ABC LW ROΣE S 1 πως v συμβαίνειν C 1–2 χρόνον ἀμφότερα coll v 3 συμβαίνει O 4 παραδοξότερον RO εἰ om WRO 5 ἄρα ΒΣΕ 6 συμβαίνει v 8 κύεσθαι R εἴπῃ v γεηπόνου ΛROΣES 8–9 καταπηγνύοντος v τὰ πηγνῦντος O 10 τῆς ψυχικῆς om v 12 τῶν ἀλόγων RO ἐστὶ: ἐπὶ v 13 τῶν om v περιεργάσασθαι LWv 14 εἰτ' ἀσχολίας (in mg γρ ἢ τὰς λοχείας) W ἐπεισκριθῶσιν LW (ἐπ in corr) v εἰσκριθῆι C 15 ἀπείπῃ R ὁ om C ἡ δὲ: εἰ δὲ C εἰ A ἐαν δὲ ἡ B ἡ δὲ ἡ W ἢ ἡ S ὀδυνῶν v 16 ἄρ' AB 17 ἐνδώσιμον v 18 καὶ om O 19 add ὁ ante ἐν RO ἀλήτης R ἀλίτης O πεπλάνηται R πλανήσεται W (πε eras) περιπλανηθήσεται S

μὲν οὐρανίων ἀπορρυεῖσα, σώματος δέ, ἂν οὕτω τύχῃ, πρὸς ὑποδοχὴν ἀμοιρήσασα; εἶτα καὶ πῶς διὰ τούτων ἐπιστατεῖν τὸ θεῖον τῶν ὄντων ὑπονοήσουσι τῇ τυχαίᾳ ταύτῃ καὶ ἀλόγῳ τῶν ψυχῶν καταπτώσει τὰς ἀρχὰς τῆς ἀνθρωπίνης ἀνατιθέντες ζωῆς; ἀνάγκη γὰρ πᾶσα τῇ ἀρχῇ καὶ τὰ μετ᾽ αὐτὴν συμφώνως ἔχειν· εἰ γὰρ ἐκ συντυχίας αὐτομάτου τινὸς ὁ βίος ἤρξατο, τυχαία πάντως καὶ ἡ κατ᾽ αὐτὸν διέξοδος γίνεται καὶ μάτην τῆς θείας δυνάμεως οἱ τοιοῦτοι τὰ ὄντα ἐξάπτουσιν μὴ βουλήματι θείῳ τὰ ἐν τῷ κόσμῳ φύεσθαι λέγοντες, ἀλλ᾽ εἰς πονηράν τινα συντυχίαν τὰς ἀρχὰς τῶν γινομένων ἀνάγοντες ὡς οὐκ ἂν συστάσης τῆς ἀνθρωπίνης ζωῆς μὴ τοῦ κακοῦ δόντος τῇ ζωῇ τὸ ἐνδόσιμον. εἰ οὖν ἡ ἀρχὴ τοῦ βίου τοιαύτη, δηλαδὴ καὶ τὰ ἐφεξῆς κατὰ τὴν ἀρχὴν κινηθήσεται· οὐ γὰρ ἄν τις ἐκ κακοῦ καλὸν οὐδὲ ἐξ ἀγαθοῦ τὸ ἐναντίον φύεσθαι λέγοι, ἀλλὰ κατὰ τὴν τοῦ σπέρματος φύσιν καὶ τοὺς καρποὺς ἀναμένομεν. οὐκοῦν πάσης τῆς ζωῆς ἡ αὐτόματος αὕτη καὶ συντυχικὴ κίνησις ἡγεμονεύσει μηδεμιᾶς προνοίας διὰ τῶν ὄντων ἡκούσης. ἄχρηστος δὲ παντάπασι καὶ ἡ τῶν λογισμῶν ἔσται προμήθεια· τῆς δὲ ἀρετῆς κέρδος οὐδὲν καὶ τὸ πρὸς τὸ κακὸν ἀλλοτρίως ἔχειν ἀντ᾽ οὐδενὸς
120 M ἂν εἴη·|πάντα γὰρ πάντως ἐπὶ τῷ φέροντι κείσεται καὶ οὐδὲν ὁ βίος διοίσει τῶν ἀνερματίστων πλοίων ταῖς αὐτομάτοις συντυχίαις οἷόν τισι κύμασιν ἄλλοτε πρὸς ἄλλην καλῶν ἢ φαύλων συντυχίαν

1 ἀπορρυεῖσα: cf. Plat. Phaedr. 246d4 5–9 συντυχία: Plat. Phaedr. 248c6; cf. Cic. Tusc. I 118 14 Matth. 7,16 16 πρόνοια: cf. e.g. Greg. Nyss. Eun. 2 (GNO I) p. 290,12–13; p. 346,7–8 et app. test.; Deit. fil. (GNO X,2) p. 123,13 20 Plat. Theaet. 144a9

ABC LW ROΣE S 1 δ᾽ W ἂν om sed in mg suppl A τύχῃ R: τύχοι cett v 2 post πῶς add ὁ B 3 ὑπονοήσωσι O ὑπονήσωσι R τυχέα O 4 τῆς ἀνθρωπίνης ante ζωῆς coll AB ἀντιθέντες A 5 τά: τῇ B μετ᾽ αὐτὴν ABR: κατ᾽ αὐτὴν O μετὰ ταύτην cett v 6 τυχέα Ov 7 αὐτῶν v αὐτὴν RO 8 add οἱ ante μὴ LW (sscr) ROΣEv τῷ om ROΣS 9–10 ἀλλ᾽ … ἀνάγοντες om O 9 τινων v 10 σύστασις O 11 ἡ om O 12 δηλαδή: δη E 13 καλὸν οὐδὲ: κλώνου δὲ E οὐδ᾽ W λέγει R 14 ἀναμένοιμεν WRO 15 αὕτη om O 16 ἡγεμονεύει LROv οἰκούσης L οἰχούσης v 17 καὶ om R 18 τὸ pr om ROv 19 οὐδὲ B 20 ἀτερματίστων W[1] 21 ἄλλουτε C σὺν τύχῃ v

μεθορμιζόμενος· οὐ γάρ ἔστι τὸ ἐξ ἀρετῆς ἐγγενέσθαι κέρδος, οἷς ἡ φύσις ἐκ τοῦ ἐναντίου τὴν ἀρχὴν ἔχει· εἰ μὲν γὰρ θεόθεν οἰκονομεῖται ἡμῶν ἡ ζωή, τὸ μηδὲ κακίαν κατάρχειν τῆς ζωῆς ἡμῶν συνομολογεῖται, εἰ δὲ δι' ἐκείνης φυόμεθα, πάντῃ τε καὶ πάντως κατ' αὐτὴν βιοτεύσομεν. λῆρος οὖν διὰ τούτων ἀποδειχθήσεται τὰ μετὰ τὸν τῇδε βίον δικαιωτήρια καὶ ἡ πρὸς ἀξίαν ἀνταπόδοσις καὶ ὅσα ἄλλα πρὸς ἀναίρεσιν τῆς κακίας λέγεται καὶ πεπίστευται· πῶς γὰρ δυνατὸν ἔξω ταύτης εἶναι τὸν ἄνθρωπον τὸν δι' ἐκείνης φύντα; πῶς δ' ἂν καὶ ὁρμή τις ἐγγένοιτο προαιρετικὴ τῷ ἀνθρώπῳ πρὸς τὸν κατ' ἀρετὴν βίον, οὗ ἡ φύσις ἐκ κακίας, ὡς λέγουσι, τὴν ἀρχὴν ἔχει; ὡς γὰρ οὐκ ἐπιχειρεῖ τι τῶν ἀλόγων ζῴων ἀνθρωπικῶς φθέγξασθαι, τῇ δὲ συντρόφῳ καὶ κατὰ φύσιν κεχρημένα φωνῇ οὐδεμίαν ἡγεῖται ζημίαν ἀμοιροῦντα τοῦ λόγου, κατὰ τὸν αὐτὸν τρόπον καὶ οἷς ἡ κακία νομίζεται εἶναι τῆς ζωῆς ἀρχὴ καὶ αἰτία, οὐκ ἂν εἰς ἐπιθυμίαν ἔλθοιεν τῆς ἀρετῆς ὡς ἔξω τῆς φύσεως αὐτῶν οὔσης. ἀλλὰ μὴν πᾶσι τοῖς κεκαθαρμένοις ἐκ λογισμῶν τὴν ψυχὴν διὰ σπουδῆς τε καὶ ἐπιθυμίας ὁ κατ' ἀρετὴν βίος ἐστίν· ἆρα διὰ τούτου οὐ σαφῶς ἐπιδείκνυται τὸ μὴ πρεσβυτέραν εἶναι τῆς ζωῆς τὴν κακίαν μηδὲ ἐκεῖθεν τὰς πρώτας ἀρχὰς ἐσχηκέναι τὴν φύσιν, ἀλλὰ κατάρχειν ἡμῶν τῆς ζωῆς τὴν τὸ πᾶν οἰκονομοῦσαν τοῦ θεοῦ σοφίαν, ἐλθοῦσαν δὲ εἰς γένεσιν τὴν ψυχὴν κατὰ τὸν ἀρέσκοντα

6–7 cf. Plat. Phaedr. 249a6–7; Phaed. 113d4–e1; Rep. 330d7–e2; 364d3–365a3

ABC LW ROΣE S 1 μεθορμιζομένων O μεθαρμοζόμενος BRS γενέσθαι RO 2 οὓς B τοὐναντίου RO τῶν ἐναντίων v 3 post τὸ add δὲ C μηδὲ: δὲ v ἡμῶν alt: ἡμῖν O 4 συνωμολόγηται R τε om CE 5 βιοτεύομεν AB ὑποδειχθήσεται B 6 τὰ: τὴν O αἱ … ἀνταποδόσεις CΣES 7 add καὶ ἡ ante πρὸς A πιστεύεται OS 9 δ' ἂν: δὲ ABLWv γὰρ O ἐγένετο v 10 ὡς λέγουσιν ἐκ κακίας coll ABC (sed corr) S 11 ἐπιχωρεῖ R τι om O ζῴων om BLv 12 φθέγγεσθαι O δέξασθαι R 13 τῷ λόγῳ Lv 14 ἡ (ante κακία) ΣESv: om cett add ἡ ante ἀρχὴ ABS 16 μὴν: μὴ ἐν A μὴν ἐν S add πονηρῶν ante τὴν S 17 ἐστὶν ante ὁ coll ΣE ἆρα BLO: ἄρα cett v 18 τούτων Ov οὐ RO: om cett v ἀποδείκνυται LROv 19 μηδ' BW μήτ' v 20 κατάρχην WO (sed corr) add τὴν ante τοῦ B

τρόπον τῷ κτίσαντι τότε κατ' ἐξουσίαν αὐτὴν αἱρεῖσθαι τὸ κατὰ γνώμην ἐκ τῆς προαιρετικῆς δυνάμεως, ὅ τί περ ἂν ἐθέλῃ, τοῦτο καὶ γινομένην; μάθοιμεν δ' ἂν τὸν λόγον ἐκ τοῦ κατὰ τὸν ὀφθαλμὸν ὑποδείγματος, ᾧ τὸ μὲν ὁρᾶν ἐστιν ἐκ φύσεως, τὸ δὲ μὴ ὁρᾶν ἐκ προαιρέσεως ἢ καὶ πάθους, γένοιτο γὰρ ἄν ποτε καὶ τὸ παρὰ φύσιν ἀντὶ τῆς φύσεως ἢ ἑκουσίως τινὸς τὸν ὀφθαλμὸν μύοντος ἢ ἐκ πάθους στερηθέντος τῆς ὄψεως· οὕτως ἔστιν εἰπεῖν καὶ τῇ ψυχῇ θεόθεν μὲν εἶναι τὴν σύστασιν, μηδεμιᾶς δὲ νοουμένης περὶ τὸ θεῖον κακίας ἔξω τῆς κατ' αὐτὴν ἀνάγκης εἶναι, γενομένην δὲ οὕτως τῇ ἰδίᾳ γνώμῃ πρὸς τὸ δοκοῦν ἄγεσθαι ἢ ἐκ προαιρέσεως πρὸς τὸ καλὸν ἐπιμύουσαν ἢ ἐξ ἐπιβουλῆς τοῦ συνοικοῦντος ἡμῶν τῇ ζωῇ πολεμίου τὸν ὀφθαλμὸν βλαπτομένην καὶ ἐν τῷ τῆς ἀπάτης
121 M |βιοτεύουσαν σκότῳ ἢ καὶ τὸ ἔμπαλιν καθαρῶς πρὸς τὴν ἀλήθειαν βλέπουσαν πόρρω γίνεσθαι τῶν σκοτεινῶν παθημάτων. πότε οὖν ἐρεῖ τις γενομένην καὶ πῶς; ἀλλὰ τὴν μὲν ζήτησιν τὴν περὶ τοῦ πῶς τὰ καθ' ἕκαστον γέγονεν ἐξαιρετέον πάντῃ τοῦ λόγου· οὔτε γὰρ περὶ τῶν προχείρων ἡμῖν εἰς κατανόησιν, ὧν τὴν ἀντίληψιν δι' αἰσθήσεως ἔχομεν, δυνατὸν ἂν γένοιτο τῷ διερευνωμένῳ λόγῳ τὸ πῶς ὑπέστη τὸ φαινόμενον κατανοῆσαι, ὡς μήτε τοῖς θεοφορουμένοις καὶ ἁγίοις ἀνδράσι τὸ τοιοῦτον ληπτὸν νομισθῆναι· Πίστει

3–7 exemplum oculi: cf. Greg. Nyss. Virg. 12 (GNO VIII,1) p. 298,21–299,3; Or. cat. 6 (GNO III,4) p. 24,7–11 20–92.2 Hebr. 11,3

ABC LW ROΣE S 1 κατ': καὶ L τὸ: τῶ R 2 ἐκ: διὰ RO ἐθέλοι C ἐθέλει v 3 γινομένη CO 3–4 κατὰ τὸν ὀφθαλμὸν: τῶν ὀφθαλμῶν v 4 ἐστιν om Σ 5 add ἢ ante ἐκ RO προαιρέσεως: φύσεως RO 6 add τὴν ante φύσιν Monac gr 192 τὸν: τῶν B 7–8 εἰπεῖν ante θεόθεν coll RO τὴν ψυχὴν WRO 8 αὐτῆς add ante σύστασιν ΣES add post σύστασιν WRO 9 τῆς om R γενομένην scil τὴν ψυχήν γινομένην O 10 πρὸς … ἐκ om O add τῆς ante προαιρέσεως O 12 πολέμου v 13 βιοτεύουσα C σκότει v ἢ sscr L om v καὶ: κατὰ B τὸ: ἐν τῶ E 14 γενέσθαι ROΣE 15 γινομένην ABCSv ζήτησιν: ἐζήτησε O 16 τὰ: τὸ RO οὐδὲ RO 18 τῷ: τῶν B διερευνω E διερευνομένων B 19 συνέστη RO 20 τοιοῦτο ABOΣ

γὰρ νοοῦμεν, φησί, κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι θεοῦ εἰς τὸ μὴ ἐκ φαινομένων τὰ ὁρώμενα γεγονέναι, οὐκ ἄν, ὡς οἶμαι, τοῦτο εἰπών, εἴπερ ᾤετο γνωστὸν εἶναι διὰ τῶν λογισμῶν τὸ ζητούμενον, ἀλλ᾽ ὅτι μὲν θελήματι θείῳ κατήρτισται αὐτός τε ὁ αἰὼν καὶ πάντα τὰ ἐξ ἐκείνου γενόμενα, ὅ τί ποτε καί ἐστιν ὁ αἰών, ᾧ παραθεωρεῖται πᾶσα ὁρατή τε καὶ ἀόρατος κτίσις· τοῦτο πεπιστευκέναι φησὶν ὁ ἀπόστολος, τὸ δὲ πῶς ἀφῆκεν ἀδιερεύνητον. οὐδὲ γὰρ ἐφικτὸν τὸ τοιοῦτον οἶμαι τοῖς ἀναζητοῦσιν εἶναι πολλὰς ἀμηχανίας τοῦ περὶ τούτων ζητήματος ἡμῖν προδεικνύντος· πῶς ἐκ τῆς ἑστώσης φύσεως τὸ κινούμενον, ἐκ τῆς ἁπλῆς τε καὶ ἀδιαστάτου τὸ διαστηματικόν τε καὶ σύνθετον· ἆρα ἐξ αὐτῆς τῆς ὑπερκειμένης οὐσίας; ἀλλ᾽ οὐχ ὁμολογεῖ τὸ ἑτερογενῶς ἔχειν πρὸς ἐκείνην τὰ ὄντα· ἀλλ᾽ ἑτέρωθέν ποθεν; καὶ μὴν οὐδὲν ἔξωθεν τῆς θείας φύσεως ὁ λόγος βλέπει· ἢ γὰρ ἂν διασχισθείη πρὸς διαφόρους ἀρχὰς ἡ ὑπόληψις, εἴ τι τῆς ποιητικῆς αἰτίας ἔξω νομισθείη, παρ᾽ οὗ ἡ τεχνικὴ σοφία τὰς πρὸς τὴν κτίσιν παρασκευὰς ἐρανίζεται. ἐπεὶ οὖν ἓν μὲν τῶν ὄντων τὸ αἴτιον, οὐχ ὁμογενῆ δὲ τῇ ὑπερκειμένῃ φύσει τὰ δι᾽ ἐκείνης παραχθέντα εἰς γένεσιν, ἴση δὲ καθ᾽ ἑκάτερον ἐν τοῖς ὑπονοουμένοις ἡ ἀτοπία, τό τε ἐκ τῆς φύσεως τοῦ θεοῦ τὴν κτίσιν οἴεσθαι καὶ τὸ ἐξ ἑτέρας τινὸς οὐσίας ὑποστῆναι τὰ πάντα· ἢ γὰρ καὶ τὸ θεῖον

9–93.4 cf. Greg. Nyss. Op. hom. 23–24 (PG 44) 209B–213C; Hex. (GNO IV,1) p. 15,8–16,11

ABC L(Λ)W ROΣE S 1 φησὶ νοοῦμεν coll RO post φησὶν add ὁ Ἀπόστολος v κατηρτεῖσθαι L κατηρτῆσθαι O ῥῆμα τε O εἰς: εἰ B 2 ἐκ φαινομένων: ἐμφαινομένων v οἴομαι ABLv 3 post εἴπερ add ὡς R 4 μὲν om O κατηρτίσθαι R κατηρτῆσθαι O κατηρτεῖσθαι L post αἰὼν add ὁ παρὰ θεῶ RO 5 τὰ om AO τὰ … ἐστιν: ὅσα ἐν αὐτῷ γεγένηται (ὁστισοῦν ἂν είη οὗτος …) v καὶ om O ὁ om S ᾧ om RO 5–6 θεωρεῖται RO 6 τούτω S 7–8 οὐδὲ … οἶμαι om A 8 οἶμαι τὸ τοιοῦτον coll RO 9 προδεικνύοντος RO (προσ-) ΣE πῶς om A 10 κινούμενον: ζητούμενον S 11 ἄρα ABRv 12 ὁμολογεῖται O τῶ A ἑτερογενὲς v 13 πόθεν LWROv ἔξω τῆς φύσεως τῆς θείας RO 14 ἢ WE: ἣ AOΣSv ἡ BCL ὑπολήψεις W[1] 15 εἴ: ἡ CL εἴ τι fort in ras Σ 16 inde ab ἐπεὶ Λ 17 οὐκ L ὁμογενεῖ E 18 δὲ om Σ ἕτερον A 18–19 ὑπονοουμέναις O 19 τε om C τοῦ om S 20 συστῆναι R post γὰρ add ἂν RO καὶ : κατὰ L τὸ om O

ἐν τοῖς τῆς κτίσεως ἰδιώμασιν εἶναι ὑπονοηθήσεται, εἴπερ ὁμογενῶς πρὸς τὸν θεὸν ἔχοι τὰ γεγονότα, ἤ τις ὑλικὴ φύσις ἔξω τῆς
124M θείας οὐσίας ἀντεισαχθήσεται τῷ| θεῷ κατὰ τὸ ἀγένητον τῇ ἀϊδιότητι τοῦ ὄντος παρισουμένη, ὅπερ δὴ καὶ Μανιχαῖοι φαντασθέντες καί τινες τῆς Ἑλληνικῆς φιλοσοφίας ταῖς ἴσαις ὑπονοίαις συνενεχθέντες δόγμα τὴν φαντασίαν ταύτην πεποίηνται· ὡς ἂν μάλιστα οὖν ἐκφύγοιμεν τὴν ἐφ' ἑκάτερον ἀτοπίαν, ἐν τῇ ζητήσει τῶν ὄντων κατὰ τὸ τοῦ ἀποστόλου ὑπόδειγμα ἀπολυπραγμόνητον τὸν λόγον τὸν περὶ τοῦ πῶς ἕκαστόν ἐστι καταλείψωμεν τοσοῦτον παρασημηνάμενοι μόνον, ὅτι ἡ ὁρμὴ τῆς θείας προαιρέσεως, ὅταν ἐθέλῃ, πρᾶγμα γίνεται καὶ οὐσιοῦται τὸ βούλημα εὐθὺς φύσις γινόμενον, τῆς παντοδυνάμου ἐξουσίας, ὅπερ ἂν σοφῶς τε καὶ τεχνικῶς ἐθελήσῃ, μὴ ἀνυπόστατον ποιούσης τὸ θέλημα· ἡ δὲ τοῦ θελήματος ὕπαρξις οὐσία ἐστί. διχῇ δὲ διῃρημένων τῶν ὄντων εἰς τὸ νοερόν τε καὶ ⟨τὸ⟩ σωματικὸν ἡ μὲν τῶν νοερῶν κτίσις οὐ δοκεῖ πως ἀπᾴδειν τῆς τοῦ ἀσωμάτου φύσεως, ἀλλ' ἐκ τοῦ σύνεγγυς εἶναι τὸ ἀειδές τε καὶ ἀναφὲς καὶ ἀδιάστατον δεικνύουσα, ὅπερ δὴ καὶ περὶ τὴν ὑπερκειμένην φύσιν ὑπονοῶν τις οὐχ ἁμαρτήσεται· τῆς δὲ σωματικῆς

2–4 scil. materiam 4 Μανιχαῖοι: cf. Greg. Nyss. Op. hom. 23 (PG 44) 212B 6–13 cf. Greg. Nyss. Or. cat. 11 (GNO III,4) p. 40,4–6 14–15 dichotomia τῶν ὄντων: cf. Plat. Tim. 27d5 sqq.; Phaed. 79a6–11

ABC ΛAW ROΣE S 1 εἶναι ἰδιώμασιν coll AB 2 τὸν om C ἔχει BW^2O post ἤ add εἰ R add ἤ O 3 ἀντεισαχθήσεται ABCΣ (fort -εισ- in ras): ἀντεξαχθήσεται cett v τὸ: τὸν L ἀγέννητον LRES 3–4 ἰδιότητι E 4 καὶ om A 5 post τινες add ἐκ O φιλοσοφίας: σοφίας W (sed corr) ἴσαις: ἰδίαις E 6 πεποίηνται ταύτην coll R post ὡς add δ' RO 6–7 οὖν μάλιστα coll S 7 οὖν: συν(εκφύγοιμεν) W (sscr οὖν W^2) ἐκφύγομεν L ἀφ' ἑκατέρου v ἑκατέραν O 9 τὸν om S καταλείψομεν ABCLRΣv 9–10 παρασημαινόμενοι v 10 ἡ om W^1 θέλῃ CΛ ἐθέλει Ov 11 βούλευμα v add ἡ ante φύσις v 12–13 ἐθελήσει BW (sscr η) θελήσῃ O ἐθέλῃ v ἐθελήσῃ ante σοφῶς coll AB 14 δ' ηρημένων B διακρινομένων v 15 ⟨τὸ⟩ suppl Langerbeck add καὶ ante ἡ B ἡ: εἰ O κτῆσις S ἀπάγειν S 16 τοῦ pr om WE ἀσωμάτου: θείου B post ἐκ add τῆς E συγγενοῦς E ευαδές O 17 ἀδιάστατον: ἀνυπόστατον $Λ^1$ δεικνύουσαν W om ABCΛ δὴ: δὲ C περὶ om $Λ^1$

κτίσεως ἐν ἀκοινωνήτοις ὡς πρὸς τὸ θεῖον τοῖς ἰδιώμασι θεωρουμένης καὶ ταύτῃ μάλιστα τὴν πολλὴν ἀμηχανίαν ἐμποιούσης τῷ λόγῳ μὴ δυναμένῳ κατιδεῖν, πῶς ἐκ τοῦ ἀοράτου τὸ ὁρώμενον, ἐκ τοῦ ἀναφοῦς τὸ στερρὸν καὶ ἀντίτυπον, ἐκ τοῦ ἀορίστου τὸ ὡρισμένον, ἐκ τοῦ ἀπόσου τε καὶ ἀμεγέθους τὸ πάντως μέτροις τισὶ τοῖς κατὰ τὸ ποσὸν θεωρουμένοις περιειργόμενον καὶ τὰ καθ᾽ ἕκαστον, ὅσα περὶ τὴν σωματικὴν καταλαμβάνεται φύσιν, περὶ ὧν τοσοῦτόν φαμεν, ὅτι οὐδὲν ἐφ᾽ ἑαυτοῦ τῶν περὶ τὸ σῶμα θεωρουμένων σῶμά ἐστιν, οὐ σχῆμα, οὐ χρῶμα, οὐ βάρος, οὐ διάστημα, οὐ πηλικότης, οὐκ ἄλλο τι τῶν ἐν ποιότητι θεωρουμένων οὐδέν, ἀλλὰ τούτων ἕκαστον λόγος ἐστίν, ἡ δὲ πρὸς ἄλληλα συνδρομὴ τούτων καὶ ἕνωσις σῶμα γίνεται· ἐπεὶ οὖν αἱ συμπληρωτικαὶ τοῦ σώματος ποιότητες νῷ καταλαμβάνονται καὶ οὐκ αἰσθήσει, νοερὸν δὲ τὸ θεῖον, τίς πόνος τῷ νοητῷ τὰ νοητὰ κατεργάσασθαι, ὧν ἡ πρὸς ἄλληλα συνδρομὴ τὴν τοῦ σώματος ἡμῖν ἀπεγέννησε φύσιν; ἀλλὰ ταῦτα μὲν 125 M ἔξω τοῦ |προκειμένου παρεξητάσθη· τὸ δὲ ζητούμενον ἦν, εἰ μὴ προϋφεστήκασιν αἱ ψυχαὶ τῶν σωμάτων, πότε ἢ πῶς γίνονται, καὶ τούτου χάριν ἡμῖν τὴν περὶ τοῦ πῶς ζήτησιν ὡς ἀνέφικτον οὖσαν ἀπολυπραγμόνητον ἀφῆκεν ὁ λόγος, περὶ δὲ τοῦ πότε τὰς ἀρχὰς αἱ ψυχαὶ τῆς ὑπάρξεως ἔχουσιν ὡς ἀκόλουθον ὂν τοῖς προεξητασμένοις ζητεῖν καταλείπεται. εἰ γὰρ δοθείη τὸ πρὸ τοῦ σώματος ἐν

9 Plat. Phaedr. 247c6–7 21–95.8 cf. Greg. Nyss. Op. hom. 28 (PG 44) 229B–233C 21–95.3 cf. Plat. Tim. 34b10–35a1; cf. Plat. Phaedr. supra p. 84,14–85,9

ABC LΛW ROΣE S 1 ὡς om R 1–2 θεωρουμένοις O (sed corr) 2 ταύτῃ LΛ^{2}R: ταύτην Ov ταύτης cett 3 δυναμένου CLW (ex corr) Ev 4 ἀφανοῦς RO 4–5 ὁρισμένον LRO ὁρώμενον B 5 εὐμεγέθους B ἀμεγέθου v τὸ: τε L τοῖς: τοῦ CΛ^{1}ΣE 6 τὸ om S περιειργασμένον E 7 ὧν: τούτων S τοιοῦτον C 8 ἑαυτῶν CΛW 9 οὐ χρῶμα ante οὐ σχῆμα coll ΣES om O 10 θεωρουμένων: καταλαμβανομένων RO (corr ex -ον) οὐδὲν om RO 10–11 ἕκαστος OE ἑκάστω S 11 add ὁ ante λόγος RO 12 συμπλωρωτικαὶ O συμπληρωματικαὶ v 14 πόνος: κόπος O τῶν νοητῶν v νοήματα Lv 14–15 συνδρομὴ ante πρὸς coll RO 15 ἡμῶν S ἀπεγένησεν B 16 παρεξετάσθη LOv παρεξητάσθω WS μὴ om Lv 18 τὴν om v add μὲν ante περὶ RO 19 δὲ om v

ἰδιαζούσῃ τινὶ καταστάσει τὴν ψυχὴν βιοτεύειν, ἀνάγκη πᾶσα τὰς ἀτόπους ἐκείνας δογματοποιΐας ἰσχὺν ἔχειν νομίσαι τῶν διὰ κακίας τὰς ψυχὰς εἰσοικιζόντων τοῖς σώμασιν. ἀλλὰ μὴν ἐφυστερίζειν τῶν ψυχῶν τὴν γένεσιν καὶ νεωτέρας τῆς τῶν σωμάτων εἶναι συμπλάσεως οὐδεὶς ἂν τῶν εὖ φρονούντων ὑπονοήσειε φανεροῦ πᾶσιν ὄντος, ὅτι οὐδὲν τῶν ἀψύχων κινητικήν τε καὶ αὐξητικὴν ἐν ἑαυτῷ δύναμιν ἔχει, τῶν δὲ τῇ νηδύϊ ἐντρεφομένων οὔτε ἡ αὔξησις οὔτε ἡ τοπικὴ κίνησίς ἐστιν ἀμφίβολος. λείπεται οὖν μίαν καὶ τὴν αὐτὴν ψυχῆς τε καὶ σώματος ἀρχὴν τῆς συστάσεως οἴεσθαι καὶ ὥσπερ τῆς ῥίζης τὴν ἀποσπάδα λαβοῦσα παρὰ τῶν γεωπόνων ἡ γῆ δένδρον ἐποίησεν οὐκ αὐτὴ τὴν αὐξητικὴν ἐνθεῖσα τῷ τρεφομένῳ δύναμιν, ἀλλὰ μόνον τὰς πρὸς τὴν αὔξησιν ἀφορμὰς ἐνιεῖσα τῷ ἐγκειμένῳ, οὕτω φαμὲν καὶ τὸ ἐκ τοῦ ἀνθρώπου ἀποσπώμενον πρὸς ἀνθρώπου φυτείαν καὶ αὐτὸ τρόπον τινὰ ζῷον εἶναι ἐξ ἐμψύχου ἔμψυχον, ἐκ τρεφομένου τρεφόμενον. εἰ δὲ μὴ πάσας τὰς τῆς ψυχῆς ἐνεργείας τε καὶ κινήσεις ἡ βραχύτης τῆς ἀποσπάδος ἐχώρησε, θαυμαστὸν οὐδέν· οὐδὲ γὰρ ὁ ἐν τῷ σπέρματι σῖτος εὐθὺς κατὰ τὸ φαινόμενον στάχυς ἐστί· πῶς γὰρ ἂν τὸ τοσοῦτον ἐν τοσούτῳ χωρήσειεν; ἀλλὰ τῆς γῆς αὐτὸν ταῖς καταλλήλοις τιθηνουμένης τροφαῖς στάχυς ὁ

3–5 cf. Greg. Nyss. Op. hom. 28 (PG 44) 229C ad Gen. 2,7   13–15 cf. Plat. Tim. 91b1–2

ABC ΛAW ROΣE S   2 ἐκείνους O   ἐκείνας post δογματοποιΐας coll Λ   add τὴν ante ἰσχὺν RO   νομίζειν v   3 ἐνοικιζόντων ΣS   ἐφυστηρίζειν L   4 τὰς ψυχὰς v   νεωτέραν ABW²ΣS   εἶναι ante τῆς coll ABO   4–5 διαπλάσεως ABS   5 τῶν om Λ¹   6 ἐν αὐτῷ CLv   7 δὲ τῇ: δ' ἐν CLWv δὲ BΛ   ἡ pr iteravit W om A   8 add ἀμφισβητήσιμός τε καὶ ante ἀμφίβολος Monac gr 192   9 ψυχήν C   add τὴν ante ἀρχὴν ROE   10 λαβούσης περὶ O   γεωπόνων ABCW: γεηπόνων cett v   11 αὐτὴν B (sed ν eras)   τῷ τρεφομένῳ om O   12 μόνας Λ   ἐκκειμένῳ Lv   13–14 πρὸς ἀνθρώπους φυτεία L   14 ἐξ ἐμψύχου ἔμψυχον om O   add καὶ ante ἐκ R   15 τρεφομένου om C   ἐνεργεία Σ   16 τε om LWSv   τῆς om v   17 ὁ om v   18 γὰρ om E   ἂν: δὴ RO om v   τὸ om LΛW¹ROΣSv   add τῷ ante τοσούτῳ RO   19 αὐτῶν O   καταλλήλαις (corr sscr) τιθηνομένης O

σῖτος γίνεται οὐκ ἐξαλλάσσων ἐν τῇ βώλῳ τὴν φύσιν, ἀλλ' ἐκφαίνων ἑαυτὸν καὶ τελειῶν τῇ τῆς τροφῆς συνεργίᾳ. ὥσπερ οὖν ἐπὶ τῶν φυομένων σπερμάτων κατ' ὀλίγον ἡ αὔξησις ἐπὶ τὸ τέλειον πρόεισι,
128 M τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς |ἀνθρωπίνης συστάσεως πρὸς λόγον τῆς σωματικῆς ποσότητος καὶ ἡ τῆς ψυχῆς διαφαίνεται δύναμις πρῶτον μὲν διὰ τοῦ θρεπτικοῦ τε καὶ αὐξητικοῦ τοῖς ἔνδοθεν πλασσομένοις ἐγγινομένη, μετὰ ταῦτα δὲ τὴν αἰσθητικὴν χάριν τοῖς εἰς φῶς προελθοῦσιν ἐπάγουσα, εἶθ' οὕτω καθάπερ τινὰ καρπὸν αὐξηθέντος ἤδη τοῦ φυτοῦ μετρίως τὴν λογικὴν ἐκφαίνουσα δύναμιν οὐ πᾶσαν κατὰ τὸ ἀθρόον, ἀλλὰ τῇ ἀναδρομῇ τοῦ φυτοῦ δι' ἀκολούθου προκοπῆς συναυξανομένην. ἐπειδὴ τοίνυν τὸ ἐκ τῶν ἐμψύχων εἰς ἀφορμὴν ἐμψύχου συστάσεως ἀποσπώμενον νεκρὸν εἶναι οὐ δύναται, ἡ γὰρ νεκρότης κατὰ ψυχῆς στέρησιν γίνεται, οὐκ ἂν δὲ προλάβοι τὴν ἕξιν ἡ στέρησις· ἐκ τούτων καταλαμβάνομεν τὸ κοινὴν τῷ ἐξ ἀμφοτέρων συνισταμένῳ συγκρίματι τὴν εἰς τὸ εἶναι πάροδον γίνεσθαι οὔτε τούτου προτερεύοντος οὔτε ἐκείνου ἐφυστερίζοντος. στάσιν δέ ποτε τῆς τοῦ ἀριθμοῦ τῶν ψυχῶν αὐξήσεως ἀναγκαίως προορᾷ ὁ λόγος, ὡς ἂν μὴ διὰ παντὸς ῥέοι ἡ φύσις ἀεὶ διὰ τῶν ἐπιγινομένων ἐπὶ τὸ πρόσω χεομένη καὶ οὐδέποτε τῆς κινήσεως λήγουσα· τὴν δὲ αἰτίαν τοῦ δεῖν πάντως στάσιμόν ποτε καὶ τὴν ἡμετέραν γενέσθαι φύσιν ταύτην οἰόμεθα, ὅτι πάσης τῆς

17–97.9 πλήρωμα ψυχῶν: cf. Greg. Nyss. Op. hom. 22 (PG 44) 205CD

ABC ΛAW ROΣE S 1 ἐξαλάσσων A (λ alt eras) R ἐξαλλάττων (ἐξαλάττων ΛE) ΛΣES τῇ: τῷ ΛE βόλῳ BCLW²O (o incert) βολῇ v 1–2 ἐμφαίνων v 2 τελειοῦν v συνεργείᾳ BCRO (sed corr) ἐνεργείᾳ ALWv 3 κατ' ὀλίγον: κατὰ λόγον Lv τέλος v 3–4 πρόσεισιν C 5 λόγον: ὀλίγον O ἀνάλογον ΛW²ΣE γρ ἀνάλογον in mg B 6 τε om LWv 7 πλασμένοις B ἐγγινομένης O (ut vid) 9 αὐξηθέντας A τοῦ φυτοῦ ἤδη coll O μετρίως om ΣE ἐμφαίνουσα WSv 10 πᾶσαν: πᾶσα ἡ O 11 προκοπῆς om RO συναυξομένην Σ συναυξομένη RO (-ω-) 13 στέρησις O 14 δέ: δὴ Lv προλάβη O προσλάβοι Λ προσλάβῃ v ἡ om S 15 τὸ κοινὴν τῷ: τῶ κινητῶ O κοινὸν Λ κοινὴ R τῷ: τὸ BL συνισταμένων O 16 προτέρου ὄντος ABS οὔτ' v 17 στᾶσιν v 18 ῥέοι om E 20 δεῖν: ἰδεῖν O ποτε: τε R 21 γίνεσθαι LWOΣEv add δι' ante ὅτι W 21–97.1 φύσεως τῆς νοητῆς coll Λ

νοητῆς φύσεως ἐν τῷ ἰδίῳ πληρώματι ἑστώσης εἰκός ποτε καὶ τὸ ἀνθρώπινον εἰς πέρας ἐλθεῖν, οὐδὲ γὰρ τοῦτο τῆς νοητῆς ἠλλοτρίωται φύσεως, ὡς μὴ πάντοτε δοκεῖν ἐν τῷ λείποντι καθορᾶσθαι· ἡ γὰρ ἀεὶ τῶν ἐπιγινομένων προσθήκη κατηγορία τοῦ ἐλλιπῶς ἔχειν τὴν φύσιν γίνεται. ἐπειδὰν οὖν εἰς τὸ οἰκεῖον πλήρωμα τὸ ἀνθρώπινον φθάσῃ, στήσεται πάντως ἡ ῥοώδης αὕτη τῆς φύσεως κίνησις εἰς τὸ ἀναγκαῖον καταντήσασα πέρας καί τις ἑτέρα κατάστασις τὴν ζωὴν διαδέξεται τῆς νῦν ἐν γενέσει καὶ φθορᾷ διεξαγομένης κεχωρισμένη· μὴ οὔσης γὰρ γενέσεως κατὰ πᾶσαν ἀνάγκην οὐδὲ τὸ φθειρόμενον ἔσται· εἰ γὰρ πρὸ τῆς διαλύσεως ἡ σύνθεσις ἄρχεται, σύνθεσιν δέ φαμεν τὴν διὰ γενέσεως πάροδον, ἀκόλουθον πάντως μὴ καθηγουμένης τῆς συνθέσεως μηδὲ τὴν διάλυσιν ἕπεσθαι· οὐκοῦν ἑστῶσά τις καὶ ἀδιάλυτος ἡ μετὰ ταῦτα ζωὴ δι᾿ ἀκολούθου προφαίνεται πίστεως οὔτε ὑπὸ γενέσεως οὔτε ὑπὸ φθορᾶς ἀλλοιουμένη.

129 M Ἐγὼ δὲ ταῦτα διεξελθούσης τῆς διδασκάλου, ἐπειδὴ τοῖς πολλοῖς τῶν παρακαθημένων ἐδόκει τὸ προσῆκον ἐσχηκέναι πέρας ὁ

16–98.18 audientibus persuasis Gregorius ut Simmias perseverat, cf. Plat. Phaed. 84c sqq.: 16 (τοῖς) – 98,1 (λόγος) cf. 84c1–4; 88c1–3; p. 98,1 (φοβηθεὶς) – 3 (ἐγένετο) cf. 84d7; 85b9; 89b7; p. 98,3 (Οὔπω) – 4 (ἥψατο) cf. 85d9–10; p. 98,17 (Τί ... ἐστίν) cf. 85e2 16–17 circumsedentium mentio hic tantum, nisi forte et infra p. 105,8 17–98.1 ὁ λόγος scil. περὶ ψυχῆς: cf. supra p. 6,13–7,11

ABC ΛAW ROΣE S 2 οὔτε E τούτου O νοερᾶς R 3 πάντοτε μὴ coll R πάντοτε: πάντοτοτε τὸ O ἐλλείποντι Monac gr 192 4 ἐλλιπῶς ΛW^{2}ΣES: ἐλλειπῶς cett ἐλλείποντος v 5–6 ἀνθρώπειον S 6 φθάσει WO (sed corr) ῥιζώδης (γρ ῥοώδης in mg scr AB) ABC 7 κανταντήσασα R 8 διαδέχεται Lv 9 γεννήσεως CΛ 10 πρὸ om ROE ἡ om Lv 10–11 post ἄρχεται iteravit σύνθεσιν ἄρχεται O 11 δέ om O γεννήσεως CΛRO πάροδον: προ sscr Λ^2 12 τῆς om W ἔσεσθαι O 13 ἀδιάσπαστος O ἀκολουθίας v 14 πίστεως om LROv 16 διελθούσης E διεξιούσης O τῆς om v διδασκάλον (!) v 17 τῶν om v παρακαθημένοις v

λόγος, φοβηθεὶς μὴ οὐκέτι ᾖ ὁ διαλύων ἡμῖν τὰ περὶ τῆς ἀναστάσεως παρὰ τῶν ἔξωθεν προφερόμενα, εἴ τι ἐκ τῆς ἀρρωστίας ἡ διδάσκαλος πάθοι, ὃ δὴ καὶ ἐγένετο· Οὔπω, φημί, τοῦ καιριωτάτου τῶν κατὰ τὸ δόγμα ζητουμένων ὁ λόγος ἥψατο· φησὶ γὰρ ἡ θεόπνευστος γραφὴ κατά τε τὴν νέαν καὶ τὴν ἀρχαίαν διδασκαλίαν πάντως ποτὲ τάξει τινὶ καὶ εἱρμῷ τῆς φύσεως ἡμῶν κατὰ τὴν παροδικὴν τοῦ χρόνου κίνησιν διεξιούσης στήσεσθαι μὲν τὴν ῥοώδη ταύτην φορὰν τὴν διὰ τῆς τῶν ἐπιγινομένων διαδοχῆς προϊοῦσαν, τῆς δὲ τοῦ παντὸς συμπληρώσεως μηκέτι τὴν ἐπὶ τὸ πλέον ἐπαύξησιν προσδεχομένης ἅπαν τὸ τῶν ψυχῶν πλήρωμα πάλιν ἐκ τοῦ ἀειδοῦς καὶ ἐσκεδασμένου πρὸς τὸ συνεστὼς καὶ φαινόμενον ἐπανελεύσεσθαι τῶν αὐτῶν στοιχείων κατὰ τὸν αὐτὸν εἱρμὸν πρὸς ἄλληλα πάλιν ἀναδραμόντων· ἡ δὲ τοιαύτη τῆς ζωῆς κατάστασις παρὰ τῆς θείας τῶν γραφῶν διδασκαλίας ἀνάστασις λέγεται τῇ τοῦ γεώδους ἀνορθώσει πάσης τῆς τῶν στοιχείων κινήσεως συνονομαζομένης.

Τί οὖν, φησί, τούτων ἀμνημόνευτον ἐν τοῖς εἰρημένοις ἐστίν;

Αὐτό, φημί, τὸ δόγμα τῆς ἀναστάσεως.

3–4 cf. supra p. 7,3–7; τὸ δόγμα scil. τῆς ἀναστάσεως: cf. infra l. 18 4–16 cf. e.g. Matth. 22,23–33 par.; Joh. 5,25–29; I Cor. 15; Is. 26,19; Ez. 37,1–4; II Mac. 7,9–14 et 23 6–7 cf. Greg. Nyss. Inscr. II 5 (GNO V) p. 83,27–84,8; infra p. 108,1–6

ABC ΛAW RO(Σ)E S 1–99.7 inde a φοβηθεὶς ... παρὰ τῆς def cod Σ unum fol phototypia 1 οὐκ ἔτι ACWOv ᾖ: εἴη RO om v add τις ante ὁ alt S διαλύσων S 2 τῶν: τῷ ex τὸ (ut vid) corr A προσφερόμενα ACS εἴ: ἤ OE 3 Οὔπω: οὕτω O 3–4 κυριωτάτου Ov 4 τῶν ... ζητουμένων om sed adscr in mg W τὸ om Wv γὰρ: μὲν οὖν W (del W²) add καὶ ante ἡ CΛW 5 τὴν om v 8 ἐπιγενομένων E 9 τὸ om CΛE πλεῖον ABLWSv 10 αὔξησιν E προδεχομένης v προσγινομένης Λ 11 σκεδασμένου O διεσκεδασμένου ΛES συνεστὸς ACLEv 12 αὐτὸν: iteravit B τὸν C 13 ζωῆς: ψυχῆς R (sed corr in mg) 14 παρά: περὶ Ov τῶν τῆς θείας διδασκαλίας γραφῶν coll v 14–15 τοῦ ... τῆς om RO 15 τῆς om C post στοιχείων iteravit 12 κατὰ ... 15 στοιχείων A κινήσει συνονομαζομένη RO 17 προειρημένοις RO ἀμνημόνευτον ante ἐστιν coll W

Καὶ μὴν πολλά, φησί, τῶν νῦν διεξοδικῶς εἰρημένων πρὸς τοῦτον τὸν σκοπὸν φέρει.

Οὐ γὰρ οἶδας, εἶπον, ὅσον παρὰ τῶν ἀντιτεταγμένων ἡμῖν περὶ τῆς ἐλπίδος ταύτης ἀντιθέσεων ἀνθυποφέρεται σμῆνος; καὶ ἅμα λέγειν ἐπεχείρουν, ὅσα πρὸς ἀνατροπὴν τῆς ἀναστάσεως παρὰ τῶν ἐριστικῶν ἐφευρίσκεται·

Ἡ δέ, Δοκεῖ μοί, φησί, χρῆναι πρότερον τὰ σποράδην παρὰ τῆς θείας γραφῆς περὶ τούτου τοῦ δόγματος ἐκτεθέντα δι᾽ ὀλίγων ἐπιδραμεῖν, ὡς ἂν ἐκεῖθεν ἡμῖν ἡ κορωνὶς ἐπιτεθείη τῷ λόγῳ. ἤκουσα τοίνυν τοῦ Δαβὶδ ὑμνολογοῦντος ἐν θείαις ᾠδαῖς, ὅτε τὴν τοῦ παντὸς διακόσμησιν ὑπόθεσιν τοῦ ὕμνου πεποιημένος ἐν ἑκατοστῷ τρίτῳ ψαλμῷ πρὸς τῷ τέλει τῆς ὑμνῳδίας τοῦτό φησιν ὅτι Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσιν καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν· ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται καὶ
132 M ἀνακαινιεῖς |τὸ πρόσωπον τῆς γῆς, τὴν Πάντα ἐν πᾶσιν ἐνεργοῦσαν τοῦ πνεύματος δύναμιν ζωοποιεῖν τε λέγων, οἷς ἂν ἐγγένηται, καὶ ἀφιστᾶν τῆς ζωῆς πάλιν, ὧν ἂν ἀπογένηται. ἐπεὶ οὖν τῇ μὲν ἀναχωρήσει τοῦ πνεύματος τὴν τῶν ζώντων ἔκλειψιν, τῇ δὲ παρουσίᾳ

1–2 cf. supra p. 55,1–57,20; p. 80,1–82,8   4 imit. Plat. Rep. 450b1   9–103.8 cf. Greg. Nyss. Diem nat. (GNO X,2) p. 236,4–238,7; Meth. Res. I 21,1–2 (ed. Bonwetsch, p. 374,14–375,12) et Conv. IX 1–5 (ed. Musurillo, p. 113,7–121,9); cf. Daniélou, Fête, passim   12–15 Ps. 103,29–30   15 cf. I Cor. 12,6.11; I Cor. 15,28

ABC ΛΑW RO(Σ)E S   1 φησί, πολλὰ coll R   3 ὅσα RO   ἀντιταγμένων W   περὶ: παρὰ v om C   4 ἀντιθέσεως v om RO   σμῆνος om RO   5 ἀποτροπὴν Λ   παρά: περὶ O   6 ἐριστικῶν: αἱρετικῶν E   ἐφεύρηται E   7 παρά: περὶ O ἃ CE   8 inde a θείας cod Σ   ἐντεθέντα O   8–9 ἐπιδρομεῖν O   9 ἡμῖν om O   τοῦ λόγου O   10 ᾠδαῖς: φωναῖς O   τὴν om B   τοῦ alt: τῆς O   11 τοῦ om S   ἐν: ἓν B   12 τῷ: τὸ O   τούτω O   12–13 ἀντανελῆς LΛ ἀνατελεῖς A   13–14 καὶ alt ... ἐπιστρέψουσιν om E   15 τὴν om v add τὰ ante πάντα ΣES   ἅπασιν ΣΕ   16–17 καὶ ... ἀπογένηται om ACRO adscr in mg R   17 ἀφιστᾶν scil τὴν τοῦ πνεύματος δύναμιν ἔμπαλιν R in mg   ἂν om R in mg   ἀπογένοιτο R in mg   μὲν om CLΛWv   18 ζώων A   ἔκληψιν A ἔλληψιν O   add τούτου ante παρουσίᾳ v

τὸν τῶν ἐκλελοιπότων ἀνακαινισμὸν γίνεσθαι λέγει, προηγεῖται δὲ κατὰ τὴν τοῦ λόγου τάξιν τῶν ἀνακαινιζομένων ἡ ἔκλειψις, τούτῳ ἐκεῖνό φαμεν τὸ κατὰ τὴν ἀνάστασιν καταγγέλλεσθαι τῇ ἐκκλησίᾳ μυστήριον τῷ προφητικῷ πνεύματι τοῦ Δαβὶδ τὴν χάριν ταύτην προεκφωνήσαντος. ἀλλὰ καὶ ἑτέρωθί φησιν ὁ αὐτὸς οὗτος προφήτης, ὅτι ὁ τοῦ παντὸς θεός, ὁ τῶν ὄντων κύριος Ἐπέφανεν ἡμῖν, ἐπὶ τῷ συστήσασθαι τὴν Ἑορτὴν ἐν τοῖς πυκάζουσι τὴν τῶν σκηνοπηγιῶν ἑορτὴν διὰ τῆς τοῦ πυκασμοῦ λέξεως ἑρμηνεύων, ἣ πάλαι μὲν ἐκ τῆς παραδόσεως τοῦ Μωϋσέως νενόμιστο προφητικῶς, οἶμαι, τὰ μέλλοντα τοῦ νομοθέτου προαγορεύοντος, ἀεὶ δὲ γινομένη οὔπω ἐγεγόνει. προεδηλοῦτο μὲν γὰρ τοῖς τῶν γινομένων αἰνίγμασι τυπικῶς ἡ ἀλήθεια, αὐτὴ δὲ ἡ ἀληθὴς σκηνοπηγία οὔπω ἦν, ἀλλὰ τούτου χάριν κατὰ τὸν προφητικὸν λόγον ὁ θεὸς τῶν ὅλων καὶ κύριος ἑαυτὸν ἐπέφανεν ἡμῖν, ὡς ἂν συσταίη τῇ ἀνθρωπίνῃ φύσει ἡ τοῦ διαλυθέντος ἡμῶν οἰκητηρίου σκηνοπηγία πάλιν διὰ τῆς συνόδου τῶν στοιχείων σωματικῶς πυκαζομένη· τὴν γὰρ περιβολὴν καὶ τὸν ἐκ ταύτης κόσμον ἡ τοῦ πυκασμοῦ λέξις κατὰ τὴν ἰδίαν ἔμφασιν διασημαίνει. ἔχει δὲ ἡ ῥῆσις τῆς ψαλμῳδίας τοῦτον τὸν τρόπον·

2–3 ἀνακαινισμός ut ἀνάστασις: cf. Orig. In Ps. 103 (PG 12) 1564A1–4 6 Ps. 117,27 7 ἑορτή: cf. Deut. 16,13–15; 31,10–13; Lev. 23,39–43 11–12 cf. Hebr. 9,8–9 14–18 cf. II Cor. 5,1–4; σκῆνος i.e. corpus: cf. Waszink, Tertullian, p. 530–531 16–18 ἡ τοῦ πυκασμοῦ λέξις: cf. Orig. In Ps. 117 (PG 12) 1585A14; Hesych. Lex. s.v. πυκάζουσι

ABC ΛAW RO(Σ)E S 1 τῶν: τούτων O ἐκλειπόντων v om O λέγει om C 2 κατὰ om Λ τῆς … τάξεως Λ² τούτῳ v Sifanus ('hoc ipso'): τοῦτο codd 3 ἐκείνῳ v καταγγέλεσθαι BW τῆς ἐκκλησίας AR¹S 5 ἑτέρωθεν v οὗτος om E 6 ὁ pr: οὐ O ὄντων: οὔτων A 7 τῷ: τὸ ABW¹ om C (sscr τῶι) 7–8 ἐν τοῖς … ἑορτὴν om O 9 παραδόσεως: ο in ras Σ μωυσέος ΛES μωσέως BCLW νενομίσθω B 10 γενομένη L γενόμενος v 11 post οὔπω add τέλεον Λ γεγόνει AB προεδειλοῦτο O μὲν om Λ 12 αὐτὴ LW αὕτη COΣEv ἡ om A 13 inde a χάριν def cod Σ unum fol phototypia 13–14 add ὁ ante κύριος S 14 ἑαυτὸν: ὁ αὐτὸς O om S εὐσταίη A ἡ om O 15 οἰκοτηρίου O 18 σημαίνει C τὸν om Λ¹

Θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν συστήσασθαι ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου, ὅπερ δοκεῖ μοι προαναφωνεῖν δι’ αἰνίγματος τὸ μίαν ἑορτὴν πάσῃ τῇ λογικῇ κτίσει συνίστασθαι τῶν ὑποδεεστέρων τοῖς ὑπερέχουσιν ἐν τῇ τῶν ἀγαθῶν συνοδίᾳ συγχορευόντων· ἐπειδὴ γὰρ ἐν τῇ τυπικῇ τοῦ ναοῦ κατασκευῇ οὐ πᾶσιν ἐφεῖτο τῆς ἔξωθεν περιβολῆς ἐντὸς γενέσθαι, ἀλλ’ ἀπεκέκριτο τῆς εἰσόδου πᾶν ὅσον ἐθνικὸν καὶ ἀλλόφυλον, τῶν τε αὖ ἐντὸς γινομένων οὐ μετῆν ἐκ τοῦ ἴσου πᾶσι τῆς ἐπὶ τὸ ἐνδότερον παρόδου μή τινι καθαρωτέρᾳ διαίτῃ καί τισι περιρραντηρίοις ἀφαγνισθεῖσι. πάλιν δὲ καὶ ἐν αὐτοῖς τούτοις οὐ πᾶσι βάσιμος ἦν ὁ ἔνδον ναὸς ἀλλ’ ἢ 133 M |τοῖς ἱερεῦσι μόνοις νόμιμον ἦν κατὰ χρείαν ἱερουργίας ἐντὸς τοῦ καταπετάσματος γίνεσθαι, τὸ δὲ ἀπόκρυφόν τε καὶ ἄδυτον τοῦ ναοῦ, ἐν ᾧ τὸ θυσιαστήριον ἵδρυτο κεράτων τισὶ προβολαῖς κεκαλλωπισμένον, καὶ αὐτοῖς τοῖς ἱερεῦσιν ἀνεπίβατον ἦν πλὴν ἑνὸς τοῦ προτεταγμένου τῆς ἱερωσύνης, ὃς ἅπαξ τοῦ ἐνιαυτοῦ κατά τινα νόμιμον ἡμέραν μόνος ἀπορρητοτέραν τινὰ καὶ μυστικωτέραν προσάγων ἱερουργίαν ἐπὶ τὸ ἐντὸς παρεδύετο. τοσαύτης οὖν οὔσης περὶ τὸν ναὸν τοῦτον διαφορᾶς, ἥτις εἰκὼν καὶ μίμημα τῆς νοητῆς ἦν καταστάσεως, τοῦτο τῆς σωματικῆς παρατηρήσεως διδασκούσης, ὅτι οὐδὲ πᾶσα ἡ λογικὴ φύσις τῷ ναῷ τοῦ θεοῦ, τουτέστι τῇ

1–2 Ps. 117,27 3–5 cf. Greg. Nyss. Inscr. II 6 (GNO V) p. 86,14–23 4 ἀγαθῶν scil. hominum, non rerum 7 cf. Num. 3,38 7–10 cf. Lev. 16,2–3 10–17 cf. Clem. Alex. Strom. V 5, 33,1–3 (ed. Stählin / Früchtel, p. 347,11–348,1) 15 cf. Hebr. 9,7; Exod. 30,10; Lev. 16

ABC LΛW RO(Σ)E S 1 συστήσασθε (scil ex textu LXX) LΛ[2]W[2]RES 5 συνωδία O συνόδῳ v συγχορευόντων συνοδίᾳ coll Λ συγχωρευόντων ABO 6 τῆς: τοῖς ΛO ἔσωθεν RO in mg ⟨ἐν ἄλλῳ⟩ τῆς ἔσωθεν εὗρον B 6–7 ἀλλὰ πεκέκριτο Ov (περικέκριτο) 7 ἀποκέκριτο ΛW τῶν: τὸν A 8 γενομένων AΛ οὐ μετῆν: οὐ μὴν (ex corr) τὴν C οἶμαι τὴν E πάσις O 8–9 τὴν ... πάροδον A 9 περιρραντιστηρίοις E 10 δὲ om O 11 ἀλλ’ ἢ: ἀλλὰ v μόνοις om Λ[1] 12 τε om C 12–13 ἄδυτον: ἀδύνατον L 13 ὕδρυται C προσβολαῖς LW[1]v περιβολαῖς ΛS 15 ὑποτεταγμένου C ὃς: ὡς BLv 16 post μόνος add αὐτὸς S 17 inde a ἐ]πὶ τὸ cod Σ ἐπί: πρὸς Λ[1] οὖν om O 18 ἥτις: ἥτε R εἴ τις L ὅτι τις v 19 τουτου O 20 οὐδὲ Jaeger: οὔτε codd v

ὁμολογίᾳ τοῦ μεγάλου θεοῦ, προσεγγίζει, ἀλλ' οἱ πρὸς τὰς ψευδεῖς ὑπολήψεις πεπλανημένοι ἐκτός εἰσι τοῦ θείου περισχοινίσματος, τῶν δὲ διὰ τῆς ὁμολογίας ἐντὸς γεγενημένων προτιμότεροι τῶν ἄλλων οἱ περιρραντηρίοις καὶ ἁγνείαις προκαθαιρόμενοι καὶ τούτων οἱ ἀφιερωθέντες ἤδη τὸ πλέον ἔχουσιν, ὥστε τῆς ἐσωτερικῆς ἀξιοῦσθαι μυσταγωγίας. ὡς δ' ἄν τις ἐπὶ τὸ φανερώτερον προάγοι τὴν τοῦ αἰνίγματος ἔμφασιν, ταῦτα ἔστι μαθεῖν τοῦ λόγου διδάσκοντος, ὅτι τῶν λογικῶν δυνάμεων αἱ μέν τινές εἰσιν οἷον τὸ ἅγιον θυσιαστήριον ἐν τῷ ἀδύτῳ τῆς θεότητος καθιδρυμέναι, αἱ δέ τινες πάλιν καὶ τούτων ἐν ἐξοχῇ θεωροῦνται κεράτων δίκην προβεβλημέναι καὶ ἄλλαι περὶ ἐκείνας κατά τινα τάξεως ἀκολουθίαν προτερεύουσί τε καὶ δευτερεύουσι· τὸ δὲ τῶν ἀνθρώπων γένος διὰ τὴν ἐγγενομένην κακίαν ἔξω τῆς θείας περιβολῆς ἀπεώσθη, ὅπερ τῷ περιρραντηρίῳ λουτρῷ καθηράμενον ἐντὸς γίνεται. ἀλλ' ἐπειδὴ μέλλει ποτὲ τὰ μέσα ταῦτα παραφράγματα λύεσθαι, δι' ὧν ἡμᾶς ἡ κακία πρὸς τὰ ἐντὸς τοῦ καταπετάσματος ἀπετείχισεν, ὅταν σκηνοπηγηθῇ πάλιν διὰ τῆς ἀναστάσεως ἡμῶν ἡ φύσις καὶ πᾶσα ἡ κατὰ κακίαν ἐγγενομένη διαφορὰ ἐξαφανισθῇ τῶν ὄντων, τότε κοινὴ συστήσεται ἡ περὶ τὸν θεὸν ἑορτὴ τοῖς διὰ τῆς ἀναστάσεως πυκασθεῖσιν, ὡς μίαν τε καὶ τὴν αὐτὴν προκεῖσθαι πᾶσι τὴν εὐφροσύνην μηκέτι διαφορᾶς τινος τῆς τῶν ἴσων μετουσίας τὴν λογικὴν φύσιν διατεμνούσης, ἀλλὰ τῶν νῦν ἔξω διὰ τὴν κακίαν ὄντων ἐντὸς τῶν ἀδύτων τῆς θείας μακαριότητός ποτε γενησομένων καὶ τοῖς κέρασι τοῦ θυσιαστηρίου, τουτέστι ταῖς ἐξεχούσαις τῶν ὑπερκοσμίων δυνάμεσιν,

16 cf. Ps. 117,27

ABC ΛAW ROΣE S 2 ὑπολήψεις: δόξας ABR 3 διὰ delendum censuit Langerbeck προτιμοτέρων v 4 περιρραντιστηρίοις E προκαθηράμενοι RO 6 προάγει C προσάγοι Σ (sed corr) E 7 ἔστι: δεῖ ex δὲ Λ μαθεῖν om O 9 αἱ: εἰ L καὶ πάλιν coll R 10 θεωρούντων W περιβεβλημέναι ΛE 11 ἄλλα E περὶ: παρ' O 12 γένος: ἔθνος O ἐγγινομένην BCOv 13 τῷ: τὸ W 13–14 περιράντρῳ v 15 μέσα: μετὰ v add τὰ ante δι' ΣE 16 σκηνοπηχθῇ v 17 ἡ φύσις ἡμῶν coll S 17–18 ἐγγινομένη BROv 18 διαφθορὰ Lv στήσεται R ἡ om ABCΛS 20 add καὶ ante μηκέτι Λ 21 διαμενούσης O 22 τὴν om E 23 καὶ τοῖς: καίτοι E 24 δυνάμεων RO

136 M ἑαυτοὺς | συναπτόντων. ὅπερ δὴ γυμνότερόν φησιν ὁ ἀπόστολος τὴν τοῦ παντὸς πρὸς τὸ ἀγαθὸν συμφωνίαν διερμηνεύων, ὅτι αὐτῷ Πᾶν γόνυ κάμψει ἐπουρανίων τε καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός· ἀντὶ μὲν τῶν κεράτων λέγων τὸ ἀγγελικόν τε καὶ ἐπουράνιον, διὰ δὲ τῶν λοιπῶν σημαίνων τὴν μετ᾽ ἐκείνους νοουμένην κτίσιν, ἡμᾶς, ὧν πάντων μία καὶ σύμφωνος ἑορτὴ κατακρατήσει· ἑορτὴ δέ ἐστιν ἡ τοῦ ὄντως ὄντος ὁμολογία τε καὶ ἐπίγνωσις. ἔστι δέ, φησί, καὶ ἄλλα πολλὰ τῆς ἁγίας γραφῆς πρὸς σύστασιν τοῦ κατὰ τὴν ἀνάστασιν δόγματος ἀναλέξασθαι· ὅ τε γὰρ Ἰεζεκιὴλ τῷ προφητικῷ πνεύματι τὸν ἐν τῷ μέσῳ πάντα χρόνον καὶ τὸ ἐν τούτῳ διάστημα ὑπερβὰς ἐπ᾽ αὐτοῦ ἵσταται τοῦ καιροῦ τῆς ἀναστάσεως τῇ προγνωστικῇ δυνάμει καὶ τὸ ἐσόμενον ὡς ἤδη τεθεαμένος ὑπ᾽ ὄψιν ἄγει τῷ διηγήματι· πεδίον μέγα καὶ εἰς ἄπειρον εἶδε διηπλωμένον, ὀστέων σωρείαν ἐπὶ τούτῳ πολλὴν ἄλλων ἀλλαχῇ πρὸς τὸ συμβὰν διερριμμένων, εἶτα θείᾳ δυνάμει πρὸς τὰ συγγενῆ καὶ ἴδια συγκινουμένων καὶ ταῖς οἰκείαις ἁρμονίαις ἐμφυομένων, εἶτα νεύροις καὶ σαρξὶ καὶ δέρμασι καλυπτομένων, ὅπερ ἡ ψαλμῳδία πυκαζομένων λέγει, καὶ πνεῦμα ζωοποιοῦν τε καὶ διεγεῖρον ἅπαν

3–5 Phil. 2,10–11 10–104.1 Ez. 37,1–14; cf. Greg. Nyss. Sanct. Pasch. (GNO IX) p. 266,1–12; Meth. Res. I 21,2 (ed. Bonwetsch, p. 243,15–244,2); II 21,1–4 (ed. Bonwetsch, p. 374,14–376,8) 18–19 cf. Ps. 117,27

ABC ΛAW ROΣE S 1 ἑαυτοὺς: ἐν ἑαυταῖς Σ (αι in corr) φησιν γυμνότερον coll ABS add πως ante ὁ S 3 κάμψη L τε om (sec Phil 2,10) CWROΣS 5 θεοῦ: τοῦ B post πατρὸς add ἀμήν R εὐάγελικὸν W[1] 7 ἡμῖν Σ (in corr) ὧν: ὡς C οὓς v πάντας v 8 δέ om v ὄντως om CE 9 προσυστασιν O 10 Ἐζεκιὴλ Lv 12 αὐτω O 13 post ἤδη add παρὸν Monac gr 192 14 ὑπ᾽ ὄψιν: ὑπόληψιν O post πεδίον add δὲ A add γὰρ ΛW καὶ om A εἶδε: ἴδεν C ἰδεῖν W (sed corr) om O 14–15 διηπλωμένων B 15 post ὀστέων add τε ΛW σωρείαν ante πολλὴν coll RO 16 διερριμένων O θείᾳ: θει O add τε ante καὶ WRO 17 συγκινουμένων: ι in spat (seu ras) duarum litt scr A συγκεινουμένων B συγγινουμένων O 18 post ὅπερ add καὶ W inde a ἡ ... 105,7 τε def cod Σ unum fol phototypia 19 ζωοποιοῦν τε: ζωοποιοῦνται W διεγείρων CL

τὸ κείμενον. τὴν δὲ τοῦ ἀποστόλου τῶν κατὰ τὴν ἀνάστασιν θαυμάτων διασκευὴν ὡς πρόχειρον οὖσαν τοῖς ἐντυγχάνουσι τί ἂν τις λέγοι; ὅπως ἐν κελεύσματί τινι καὶ σαλπίγγων ἠχῇ φησιν ὁ λόγος ἐν ἀκαρεῖ τοῦ χρόνου ἅπαν ἀθρόως τὸ τεθνηκός τε καὶ κείμενον εἰς ἀθανάτου φύσιν ὑπαμειφθήσεσθαι. ἀλλὰ καὶ τὰς εὐαγγελικὰς φωνὰς ὡς προδήλους ἅπασιν οὔσας παρήσομεν· οὐ γὰρ μόνῳ λόγῳ φησὶν ὁ κύριος τοὺς νεκροὺς ἀναστήσεσθαι, ἀλλὰ καὶ αὐτὴν ἐνεργεῖ τὴν ἀνάστασιν ἀπὸ τῶν ἐγγυτέρων ἡμῖν καὶ ἧττον ἀπιστεῖσθαι δυναμένων τῆς θαυματοποιΐας ἀρξάμενος· πρῶτον μὲν| 137M γὰρ ἐν τοῖς ἐπιθανατίοις τῶν νοσημάτων τὴν ζωοποιὸν δείκνυσι δύναμιν ἀπελαύνων προστάγματι λόγου τὰ πάθη, εἶτα ἀρτιθανὲς ἐγείρει παιδίον, εἶτα νεανίαν τοῖς τάφοις ἤδη προσκομιζόμενον τῆς σοροῦ διαναστήσας τῇ μητρὶ δίδωσι, μετὰ τοῦτο διαπεπτωκότα ἤδη τετραημέρῳ χρόνῳ [τὸν Λάζαρον] νεκρὸν ἐξάγει τῶν τάφων φωνῇ καὶ προστάγματι ζωοποιήσας τὸν κείμενον, εἶτα τὸν ἑαυτοῦ ἄνθρωπον ἥλοις καὶ λόγχῃ διαπεπαρμένον ἐκ νεκρῶν διὰ τρίτης

3–4 cf. I Thess. 4,16 4 cf. I Cor. 15,52; cf. Greg. Nyss. Op. hom. 22 (PG 44) 205D 5–7 cf. e.g. Joh. 11,25–26 7–105.2 cf. Greg. Nyss. Op. hom. 25 (PG 44) 213C–224B 10–11 cf. Matth. 8,1–17 par.; Matth. 8,28–33 par.; Matth. 9,27–33 par. 11–13 cf. Matth. 9,18.23–25 par.; Luc. 7,11–15 12–15 cf. Greg. Nyss. Sanct. Pasch. (GNO IX) p. 257,10–12 13–15 cf. Joh. 11,17–44 15–16 cf. Joh. 20,24–28

ABC ΛAW ROΣE S 1 κινούμενον RO τῶν om v 3 λέγει O post καὶ add ἐν R ἤχει v ἤχω E 4 ἀκαρῆ O 5 ἀθάνατον WROS φύσεως ὑπαμειφθήσεσθαι κατάστασιν Monac gr 192 ὑπαμειφθήσεται RO ἀγγελικὰς v 6 ἅπασιν ante ὡς coll O οὔσας om O παρήσωμεν W (sed corr) S παρείσομεν O παρήσαμεν v 6–7 λόγῳ μόνῳ coll ΛS 7 τοὺς νεκροὺς om O ἀναστήσεται O add μέλλει ante ἀλλὰ W 8 ἐνεργῇ AWE ἐνεργεῖ: supra ἐν scr πε Λ ἐγγυτέρως S 10 ἐν: ἐπὶ S ἐπιθανασίοις v νοσημάτων: σωμάτων E 10–11 δύναμιν δείκνυσιν coll O 11 λόγου: καὶ λόγῳ LROv ἀρτιγενὲς R 12 ἀνεγείρεται RO ἀνεγείρει Monac gr 192 προκομιζόμενον O 13 τούτον O 14 τετραήμερον A τὸν Λάζαρον secl Langerbeck νεκρὸν: om AS ἐκ νεκρῶν O post ἐξάγει add ζῶντα W^2E τοῦ τάφου Ev 14–15 τῶν … καὶ om RO 15 φωνῇ: ἢ W 16 ἄνθρωπον: ναὸν W in mg ναὸν B cf. Joh 2,19

ἡμέρας διανίστησι τοὺς τύπους τῶν ἥλων καὶ τὴν πληγὴν τῆς λόγχης εἰς μαρτυρίαν τῆς ἀναστάσεως ἐπαγόμενον, περὶ ὧν οὐδὲν οἶμαι χρῆναι διεξιέναι μηδεμιᾶς ἀμφιβολίας ἐν τοῖς τὰ γεγραμμένα παραδεδεγμένοις ὑπούσης.

Ἀλλ' οὐδὲ τοῦτο, εἶπον ἐγώ, τὸ ζητούμενον ἦν· τὸ γὰρ ἔσεσθαί ποτε τὴν ἀνάστασιν καὶ τὸ ὑπαχθήσεσθαι τῇ ἀδεκάστῳ κρίσει τὸν ἄνθρωπον διά τε τῶν γραφικῶν ἀποδείξεων καὶ τῶν ἤδη προεξητασμένων οἱ πολλοὶ τῶν ἀκουόντων συνθήσονται, ὑπόλοιπον δ' ἂν εἴη σκοπεῖν, εἴπερ ὡς τὸ νῦν ὂν καὶ τὸ ἐλπιζόμενον ἔσται· ὅπερ εἰ οὕτως εἴη, φευκτὴν εἶπον τοῖς ἀνθρώποις τὴν ἐλπίδα τῆς ἀναστάσεως εἶναι. εἰ γάρ, οἷα γίνεται λήγοντα τοῦ ζῆν τὰ ἀνθρώπινα σώματα, τοιαῦτα τῇ ζωῇ πάλιν ἀποκαθίσταται, ἆρά τις ἀτέλεστος συμφορὰ διὰ τῆς ἀναστάσεως τοῖς ἀνθρώποις ἐλπίζεται; τί γὰρ ἂν ἐλεεινότερον γένοιτο θέαμα ἢ ὅταν ἐν ἐσχάτῳ γήρᾳ καταρρικνωθέντα τὰ σώματα μεταποιηθῇ πρὸς τὸ εἰδεχθές τε καὶ ἄμορφον, τῆς μὲν σαρκὸς αὐτοῖς ἐναναλωθείσης τῷ χρόνῳ, ῥυσοῦ δὲ τοῖς ὀστέοις περιεσκληκότος τοῦ δέρματος; τῶν δὲ δὴ νεύρων συνεσπασμένων διὰ τὸ μηκέτι τῇ φυσικῇ ἰκμάδι ὑποπιαίνεσθαι καὶ διὰ τοῦτο παντὸς συνελκομένου τοῦ σώματος ἄτοπόν τι καὶ ἐλεεινὸν θέαμα γίνεται, τῆς μὲν κεφαλῆς ἐπὶ τὸ γόνυ συγκεκλιμένης, τῆς δὲ χειρὸς ἔνθεν καὶ ἔνθεν πρὸς μὲν τὴν κατὰ φύσιν ἐνέργειαν ἀπρακτούσης, ἐν

8–107.18 cf. Greg. Nyss. Mort. (GNO IX) p. 63,27–64,11

ABC ΛAW ROΣE S 1 ἀνίστησι WES 2 μαρτύριον ABS ἐπαγόμενος LROv 3 μὴ μιᾶς v προγεγραμμένα v 4 παραδεδεγμένης A παραδεδειγμένοις Ov εἰπούσης v 5 οὐδὲ: οὐ ABLROv 6 ὅτε E ὑπαχθήσασθαι O 7 inde a τῶν pr cod Σ 7–8 προεξητασμένον W 8 δ' om v 9 post σκοπεῖν add φησὶν LΣEv εἴπερ ὡς coni Langerbeck: εἰ ὥσπερ v εἰ (ἢ L) πρὸς codd ὂν: ὂν ὂν A om v τὸ alt: τὸν A 9–10 οὕτως: ὄντως v 10 φευκτὸν Ov εἶπον post ἀνθρώποις coll S 11 εἶναι ante 10 τοῖς coll S ante 10 τὴν coll ΣE λήγοντα: ὅταν λήγεται v 12 πάλιν τῇ ζωῇ coll AB ἀποκαθίστανται A ἀποκαθίστασθαι E ἀτελεύτητος Λ^{2} 14 ἢ: εἰ R ἐν om Λ^{1}O καταρικνωθέντα ABO (-κρω-) Σ καταρριγνυθέντα v 16 αὐτοῖς: om Λ^{1} αὐτῆς OSv ἀναλωθείσης Rv ἐναναλυθείσης O 16–17 παρεσκληκότος O 17 τοῦ δέρματος ante 16 τοῖς coll S 18 τῇ om RO 19 ἄτοπον: ἄτονον WRO add γὰρ ante τι ΛW 21 κατὰ: κάτω A 21–106.1 ἐν τρόμῳ: ἐν τρομῆς v

τρόμῳ δὲ κατὰ τὸ ἀκούσιον ἀεὶ κραδαινομένης. οἷα δὲ πάλιν τῶν ταῖς χρονίαις νόσοις ἐκτετηκότων τὰ σώματα, ἃ τοσοῦτον διαφέρει τῶν γυμνωθέντων ὀστέων, ὅσον ἐπικεκαλύφθαι δοκεῖν λεπτῷ καὶ 140 M ἐκδεδαπανημένῳ ἤδη τῷ δέρματι, οἷα δὲ καὶ τῶν ἐν ταῖς ὑδερι|καῖς ἀρρωστίαις ἐξῳδηκότων, τῶν δὲ τῇ ἱερᾷ νόσῳ κεκρατημένων τὴν ἀσχήμονα λώβην τίς ἂν ὑπ' ὄψιν ἀγάγοι λόγος, ὡς κατ' ὀλίγον αὐτοῖς πάντα τὰ μέλη τὰ ὀργανικά τε καὶ αἰσθητήρια προϊοῦσα ἡ σηπεδὼν ἐπιβόσκεται; τῶν δὲ ἐν σεισμοῖς ἢ πολέμοις ἢ ἐξ ἑτέρας τινὸς αἰτίας ἠκρωτηριασμένων καὶ πρὸ τοῦ θανάτου χρόνον τινὰ ἐν τῇ συμφορᾷ ταύτῃ ἐπιβιούντων ἢ τῶν ἀπὸ γενέσεως λώβῃ τινὶ συναποτελεσθέντων ἐν διαστρόφοις τοῖς μέλεσι τί ἄν τις λέγοι; περὶ δὲ τῶν ἀρτιγενῶν νηπίων τῶν τε ἐκτιθεμένων καὶ τῶν καταπνιγομένων καὶ τῶν κατὰ τὸ αὐτόματον ἀπολλυμένων τί ἔστι λογίσασθαι, εἰ τοιαῦτα πάλιν πρὸς τὴν ζωὴν ἐπανάγοιτο; ἆρα ἐναπομενεῖ τῇ νηπιότητι; καὶ τί ἀθλιώτερον; ἀλλ' ἐπὶ τὸ μέτρον ἥξει τῆς ἡλικίας; καὶ ποίῳ γάλακτι πάλιν ἡ φύσις αὐτὰ τιθηνήσεται; ὥστε εἰ μὲν διὰ πάντων ταὐτὸν ἡμῖν τὸ σῶμα πάλιν ἀναβιώσεται, συμφορά ἐστι τὸ προσδοκώμενον, εἰ δὲ μὴ ταὐτόν, ἄλλος τις ὁ ἐγειρόμενος ἔσται παρὰ τὸν κείμενον· εἰ γὰρ πέπτωκε μὲν τὸ παιδίον, ἀνίσταται δὲ τέλειος ἢ τὸ ἔμπαλιν, πῶς ἔστιν εἰπεῖν αὐτὸν ἀνωρθῶσθαι τὸν

ABC ΛAW ROΣE S 1 δὲ: δὴ L 2 χρονίοις E 3 ἐπικαλύφθαι δοκεῖ v 4 δὲ: δὴ ΣES 5 ἐξῳδηκότων CΛRΣSv: ἐξωδικότων AW² ἐξοδικότων B ἐξοιδηκότων LOE ἐξοιδικότων W ἱερᾷ: ἰκτέρα E 7 αἰσθητὰ v προσιοῦσα v 8 σηπεδῶς O add ἐν ante πολέμοις E 9 τινὸς om ΛE ἠκροτηριασμένων BLWROv ἐν: ἐπὶ RO 10 βεβιωμένων O γεννέσεως O 11 ante τί add περὶ ὧν Λ add περιὸν L add περιῶν W (sed eras) v add περιιόντων E περὶ οὖν temptavit Langerbeck δὲ om v 12 νηπίων: παιδίων RO ἐκτεθειμένων RE τῶν tert: τὸ L 14 post εἰ add τὰ v eras duas litt Σ ταῦτα ABCWΣS ἆρα CL: ἆρ' ABΛWOΣES ἄρα Rv ἐναπομενεῖ S cf. Krabinger praecedente Sifano 'remanebunt': ἐναπομένει cett ἐναπομένῃ v 15 μέτριον E ἄκρον Lv 16 ποία S γάλακτος AS πάλιν post φύσις coll ABS ἡ om S αὐτὰ ἡ φύσις coll Λ εἰ: ἡ L 17 ταυτῶν L 18 ἔσται Lv 19 ἔσται om O παρά: περὶ R 20 add ὁ ante τέλειος RO ἀνωρθῶσθαι ΛΣSv: ἀνορθοῦσθαι W (sed corr ου in ω) O ἀνορθῶσθαι cett

κείμενον ἐν τῇ τῆς ἡλικίας διαφορᾷ τοῦ πεπτωκότος ὑπηλλαγμένου ὄντος; ἀντὶ γὰρ τοῦ παιδίου τέλειον καὶ ἀντὶ τοῦ πρεσβυτέρου τὸν ἀκμαστήν τις ὁρῶν ἕτερον ἀνθ' ἑτέρου τεθέαται καὶ ἀντὶ τοῦ λελωβημένου τὸν ἄρτιον καὶ ἀντὶ τοῦ ἐκτετηκότος τὸν εὔσαρκον καὶ τὰ ἄλλα πάντα ὡσαύτως, ἵνα μὴ τὰ καθ' ἕκαστόν τις διεξιὼν ὄχλον ἐπεισάγοι τῷ λόγῳ· εἰ μὴ τοιοῦτον ἀναβιῴη τὸ σῶμα πάλιν, οἷον ἦν, ὅτε τῇ γῇ κατεμίγνυτο, οὐ τὸ τεθνηκὸς ἀναστήσεται, ἀλλ' εἰς ἄλλον ἄνθρωπον ἡ γῆ πάλιν διαπλασθήσεται. τί οὖν πρὸς ἐμὲ ἡ ἀνάστασις, εἰ ἀντ' ἐμοῦ τις ἄλλος ἀναβιώσεται; πῶς γὰρ ἂν ἐπιγνοίην αὐτὸς ἐμαυτὸν βλέπων ἐν ἐμαυτῷ οὐκ ἐμαυτόν; οὐ γὰρ ἂν εἴην ἀληθῶς ἐγώ, εἰ μὴ διὰ πάντων εἴην ὁ αὐτὸς ἐμαυτῷ· καθάπερ γὰρ κατὰ τὸν παρόντα βίον εἴ τινος ἔχοιμι διὰ μνήμης τὸν χαρακτῆρα, ὑποκείσθω δὲ κατὰ τὸν λόγον ψεδνὸς ὁ τοιοῦτος εἶναι, προχειλής, ὑπόσιμος, λευκόχρους, γλαυκόμματος, ἐν πολιᾷ
141 M τῇ τριχὶ καὶ ῥυσῷ τῷ σώματι, εἶτα ζητῶν τὸν|τοιοῦτον ἐντύχοιμι νέῳ, κομήτῃ, γρυπῷ, μελανόχροϊ καὶ τὰ λοιπὰ πάντα τοῦ κατὰ τὴν μορφὴν χαρακτῆρος ἑτέρως ἔχοντι, ἆρα τοῦτον ἰδὼν ἐκεῖνον νοήσαιμι; μᾶλλον δὲ τί χρὴ ταῖς ἐλάττοσι τῶν ἐνστάσεων ἐνδιατρίβειν

16–17 cf. Greg. Nyss. Mort. (GNO IX) p. 64,1–4; Meth. Res. I 21,4 (ed. Bonwetsch, p. 245,13–246,3)

ABC LΛW ROΣE S 1 ἐν om O 2 ὄντως O (sed corr) ἀντὶ γὰρ ... τέλειον om RO 3 ἀγμαστὴν O ἀκμηστὸν v ἀκμάσαντα Λ 4 τὸν: τὸ Λ ἔνσαρκον L ἄσαρκον B 5 τἄλλα LΛRE πάντως Λ 6 ἐπεισάγῃ v ἐπεισαγάγοι E ἐπισυνάγοι A ἐπισάγοι O post μὴ add οὖν v ἀναβιώσῃ v 7 τεθνηκῶς L 8 πάλιν ante ἡ γῆ coll B om CLΛW^{1}v 9 εἰ: ἢ E τις post ἄλλος coll BRO om Λ 10 ἂν om AB ἐμαυτὸν et pr et alt: ἑαυτὸν RO et μὴ ante βλέπων add et οὐκ om RO ἐμαυτῷ: ἑαυτῶ ABCW^{2}RΣS 11 οὐ: ποῦ Monac gr 192 ἂν om B ἀληθῶς ... εἴην om A post ἐγὼ add δὲ O ὁ sscr ΛW om O 14 ὑπόσημος WO λευκόχροος Λ λευκόχρωος C λευκόχρως AB 15 τριχῆ ALRO 16 κομῶντι Monac gr 192 μελανόχρωϊ CΛO μελανοχροῖ v 17 εἰδῶν L εἰδὼς v 17–18 νοήσαιμι ABCΣE: νομίσαιμι S νοήσομαι WR οἰήσομαι LΛOv

τῶν ἰσχυροτέρων ἀφέμενον; τίς γὰρ οὐκ οἶδεν, ὅτι ῥοῇ τινι προσέοικεν ἡ ἀνθρωπίνη φύσις ἀπὸ γενέσεως εἰς θάνατον ἀεὶ διά τινος κινήσεως προϊοῦσα τότε τῆς κινήσεως λήγουσα, ὅταν καὶ τοῦ εἶναι παύσηται; ἡ δὲ κίνησις αὕτη οὐ τοπική τίς ἐστι μετάστασις, οὐ γὰρ ἐκβαίνει ἑαυτὴν ἡ φύσις, ἀλλὰ δι᾽ ἀλλοιώσεως ἔχει τὴν πρόοδον· ἡ δὲ ἀλλοίωσις, ἕως ἂν ᾖ τοῦτο ὃ λέγεται, οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ μένει· πῶς γὰρ ἂν ἐν ταὐτότητι φυλαχθείη τὸ ἀλλοιούμενον; ἀλλ᾽ ὥσπερ τὸ ἐπὶ τῆς θρυαλλίδος πῦρ τῷ μὲν δοκεῖν ἀεὶ τὸ αὐτὸ φαίνεται, τὸ γὰρ συνεχὲς ἀεὶ τῆς κινήσεως ἀδιάσπαστον αὐτὸ καὶ ἡνωμένον πρὸς ἑαυτὸ δείκνυσι, τῇ δὲ ἀληθείᾳ πάντοτε αὐτὸ ἑαυτὸ διαδεχόμενον οὐδέποτε τὸ αὐτὸ μένει· ἡ γὰρ ἐξελκυσθεῖσα διὰ τῆς θερμότητος ἰκμὰς ὁμοῦ τε ἐξεφλογώθη καὶ εἰς λιγνὺν ἐκκαυθεῖσα μετεποιήθη καὶ ἀεὶ τῇ ἀλλοιωτικῇ δυνάμει ἡ τῆς φλογὸς κίνησις ἐνεργεῖται εἰς λιγνὺν δι᾽ ἑαυτῆς ἀλλοιοῦσα τὸ ὑποκείμενον· ὥσπερ τοίνυν δὶς κατὰ ταὐτὸν τῆς φλογὸς θιγόντα οὐκ ἔστι τῆς αὐτῆς [τὸ] δὶς ἅψασθαι· τὸ γὰρ ὀξὺ τῆς ἀλλοιώσεως οὐκ ἀναμένει τὸν ἐκ δευτέρου πάλιν ἐπιθιγγάνοντα, κἂν ὡς τάχιστα τοῦτο ποιῇ, ἀλλ᾽ ἀεὶ καινή τε καὶ πρόσφατός ἐστιν ἡ φλὸξ πάντοτε γεννωμένη καὶ ἀεὶ ἑαυτὴν διαδεχομένη καὶ οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ

1–4 ad Heraclitum spectat: Plat. Crat. 402a8–10; cf. Meth. Res. I 9–10 (ed. Bonwetsch, p. 230,1–234,11); Greg. Naz. Carm. I,2,14 vv. 27–32 (PG 37) 757A–758A 16–18 cf. Heracl. B91 (ed. Diels / Kranz)

ABC ΛAW ROΣE S 1 τὸν ἰσχυρότερον v ἀφιέμενον v ἀφέμενοι O ἀφεμένων A 3 προϊοῦσα … κινήσεως om CO ληγούσης RO ὅταν: ὅτε W καὶ om R 4 παύσεται LWv μετά (στασις): διά sscr W[2] 6–7 τὸ αὐτὸ RO 7 ἂν om W φυλαχθῇ B 8 τὸ pr ante πῦρ coll RO τῷ: τὸ AR 9 ἀεὶ om RO 10 ἑαυτὸ: ἑαυτῷ Λ[1] αὐτὸ O add πάντως ante πάντοτε v 10–11 ἑαυτὸν αὐτὸ coll v 11 ἑαυτό: ἑαυτοῦ CΣ (fort ante corr) ἑαυτὸν v τὸ om ROv γὰρ ἐξελκυσθεῖσα: παρεξελκυσθεῖσα C 12 ἀκμὰς A λαμπὰς S post τε add καὶ O et 12 et 14 λιγνῦν AO (λυγ-) λιγνὴν R λίγνην v 14 ἐνεργεῖ O ἀλλοιοῦσα: ἐνεργοῦσα E 15 κατ᾽ αὐτὸν O θήγοντα AC 16 αὐτῆς: τοιαύτης O τὸ ante δὶς secludendum (de est in M rec) 17 τούτου O 18 ποιεῖ LW[1] τε καινὴ coll O 18–19 γενωμένη W[1]RO γενομένη CΣ (ex γεννωμένη) γινομένη Lv γενησομένη A 19 αὐτὴν B διαχεομένη O τὸ αὐτὸ RO

μένουσα, τοιοῦτόν τι καὶ περὶ τὴν τοῦ σώματος ἡμῶν φύσιν ἐστί· τὸ γὰρ ἐπίρρυτον τῆς φύσεως ἡμῶν καὶ τὸ ἀπόρρυτον διὰ τῆς ἀλλοιωτικῆς κινήσεως ἀεὶ πορευόμενον τότε κινούμενον ἵσταται, ὅταν καὶ τῆς ζωῆς ἀπολήξῃ. ἕως δ' ἂν ἐν τῷ ζῆν ᾖ, στάσιν οὐκ ἔχει· ἢ γὰρ πληροῦται ἢ διαπνέεται ἢ δι' ἑκατέρων πάντως εἰς ἀεὶ διεξάγεται. εἰ τοίνυν οὐδὲ τῷ χθιζῷ τις ὁ αὐτός ἐστιν, ἀλλ' ἕτερος τῇ ὑπαλλαγῇ γίνεται, ὅταν ἐπαναγάγῃ πάλιν τὸ σῶμα ἡμῶν πρὸς τὴν ζωὴν ἡ ἀνάστασις, δῆμός τις ἀνθρώπων πάντως ὁ εἷς γενήσεται, ὡς ἂν μηδὲν ἐλλείποι τοῦ ἀνισταμένου τὸ βρέφος, τὸ νήπιον, ὁ παῖς, τὸ μειράκιον, ὁ ἀνήρ, ὁ πατήρ, ὁ πρεσβύτης καὶ τὰ διὰ μέσου πάντα. σωφροσύνης δὲ καὶ ἀκολασίας διὰ σαρκὸς ἐνεργουμένης τῶν τε
144 M ὑπομε|νόντων ὑπὲρ τῆς εὐσεβείας τὰς ἀλγεινὰς τῶν κολάσεων τῶν τε αὖ μαλακιζομένων πρὸς ταύτας διὰ τῆς σωματικῆς αἰσθήσεως ἑκατέραν τούτων ἐπιδεικνυμένων, πῶς ἔστι παρὰ τὴν κρίσιν διασωθῆναι τὸ δίκαιον; ἢ τοῦ αὐτοῦ νῦν μὲν πεπλημμεληκότος, αὖθις δὲ διὰ μεταμελείας ἑαυτὸν ἐκκαθάραντος κἂν οὕτω τύχῃ πάλιν ἐπὶ τὸ πλημμελὲς ὀλισθήσαντος, ὑπαμειφθέντος δὲ κατὰ τὴν ἀκολουθίαν τῆς φύσεως καὶ τοῦ μεμολυσμένου καὶ τοῦ ἀμολύντου

1–2 cf. Plat. Tim. 43a5–6 6–7 cf. Epich. B2 vv. 11–12 (ed. Diels / Kranz); cf. Greg. Nyss. Mort. (GNO IX) p. 52,19–20; cf. Domiter, Gregor von Nazianz, p. 92–100, p. 268–271 11–15 cf. Greg. Nyss. Sanct. Pasch. (GNO IX) p. 266,15–268,21; Meth. Res. I 11,2–3 (ed. Bonwetsch, p. 234,18–235,6); II 14,6 (ed. Bonwetsch, p. 360,6–12)

ABC ΛAW ROΣΕ S 1 τοιοῦτο O τὴν sscr A ἡμῶν om RO 2 τῆς ... ἀπόρρυτον om C τὸ om RO ἀπόρρητον A 3 et post πορευόμενον add τε καὶ et τότε post κινούμενον coll ROΣΕ 5 διαπνεῖται ΛΕ διαπνεῖ Σ διαπνίεται O ἑτέρων A εἰς om R 6 τῷ χθιζῷ: τεχθεὶς οὔτε ζῶν RO 6–7 ἐπαλλαγῇ R ἀπαλλαγῇ Ov 7 ἐπανάγῃ O πάλιν om A 8 πάντως post εἷς coll R ὁ om AB εἷς γενήσεται: εἰσγενήσεται A 9 μηδὲ Λ[1] ἐνισταμένου S 11 τε: δὲ v 12 τῆς om S ἀλγηδόνας ΣΕS 13 ταύτας (scil σωφροσύνην καὶ ἀκολασίαν) ROΣΕ: ταῦτα cett v 13–14 αἰσθήσεως: ἀκοῆς ἕως W[1] 14 ἑκατέραν Langerbeck: ἑκάτερον RO ἑκατέρων cett v παρά: περὶ O 15 ἢ Ov: εἰ cett add ἐπὶ ante τοῦ ΣΕ μὲν νῦν coll R 16 ἐκκαθήραντος ABLΛ[2]ΣΕ τύχοι BS 18 μεμολυμμένου L τοῦ alt om ΛOΣΕ

σώματος καὶ μηθετέρου τούτων εἰς τὸ διηνεκὲς ἐξαρκέσαντος ποῖον τῷ ἀκολάστῳ σῶμα συγκολασθήσεται; τὸ ῥικνωθὲν ἐν τῷ γήρᾳ πρὸς τῷ θανάτῳ; ἀλλ' ἕτερον ἦν τοῦτο παρὰ τὸ τὴν ἁμαρτίαν κατεργασάμενον· ἀλλ' ὅπερ κατεμολύνθη τῷ πάθει; καὶ ποῦ ὁ πρεσβύτης; ἢ γὰρ οὐκ ἀναστήσεται οὗτος καὶ οὐκ ἐνεργὸς ἡ ἀνάστασις ἢ οὗτος ἐγερθήσεται καὶ διαφεύξεται τὴν δίκην ὁ ὑποκείμενος. εἴπω τι καὶ ἄλλο τῶν προφερομένων ἡμῖν παρὰ τῶν οὐ δεδεγμένων τὸν λόγον; οὐδέν, φησί, ἄπρακτον τῶν ἐν τῷ σώματι μορίων ἡ φύσις ἐποίησε· τὰ μὲν γὰρ τὴν τοῦ ζῆν αἰτίαν καὶ δύναμιν ἐν ἡμῖν ἔχει, ὧν ἄνευ συστῆναι τὴν διὰ σαρκὸς ζωὴν οὐκ ἐνδέχεται, οἷον καρδία, ἧπαρ, ἐγκέφαλος, πνεύμων, γαστὴρ καὶ τὰ λοιπὰ σπλάγχνα, τὰ δὲ τῇ αἰσθητικῇ κινήσει ἀποκεκλήρωται, τὰ δὲ τῆς πρακτικῆς καὶ μεταβατικῆς ἐνεργείας ἐστίν, ἄλλα δὲ πρὸς τὴν διαδοχὴν τῶν ἐπιγινομένων ἐπιτηδείως ἔχει. εἰ μὲν οὖν ἐν τοῖς αὐτοῖς ἡμῖν ὁ μετὰ ταῦτα βίος ἔσται, πρὸς οὐδὲν ἡ μετάστασις γίνεται· εἰ δὲ ἀληθὴς ὁ λόγος, ὥσπερ οὖν ἐστιν ἀληθής, ὁ μήτε γάμον ἐμπολιτεύεσθαι τῷ μετὰ τὴν ἀνάστασιν βίῳ διοριζόμενος μήτε διὰ βρώσεως καὶ πόσεως τὴν τότε διακρατεῖσθαι ζωήν, τίς ἔσται χρῆσις τῶν μερῶν τοῦ σώματος οὐκέτι τῶν δι' ἃ νῦν ἔστι τὰ μέλη κατὰ τὴν ζωὴν ἐκείνην ἐλπιζομένων; εἰ γὰρ τοῦ γάμου χάριν τὰ πρὸς τὸν γάμον ἐστίν, ὅταν ἐκεῖνο μὴ ᾖ, οὐδὲ τῶν πρὸς ἐκεῖνο

6–7 cf. supra ad p. 109,11–15 (σωφροσύνης ... δίκαιον) 9–14 cf. Greg. Nyss. Op. hom. 30 (PG 44) 240D–241B 16–17 cf. Matth. 22,30 par.; cf. Greg. Nyss. Op. hom. 17 (PG 44) 188D–189A; cf. Meth. Res. I 51,2 (ed. Bonwetsch, p. 305,6–13) 18 cf. Rom. 14,17

ABC ΛΑW ROΣE S 1 post καὶ eras unum verbum W[2] μεθ' ἑτέρου C μὴ ἑτέρου E 2 σώματι L συγκολληθήσεται Λ 3 παρὰ: περὶ O 4 κατειργασμένον Lv καταμολυνθῇ E 6 διαφεύξει S δίκην: κόλασιν S 7 παρὰ: περὶ O τῶν: τὸν B 8 φασὶν ex φησὶν corr Monac gr 192 ἄπρακτόν φησιν coll RO τῷ om C 9 αἰτίαν: ὑγιείαν RO 10 ἐν ἡμῖν om C τὴν om v post ζωὴν add ἡμῶν v 11 ἧπαρ om Λ τὰ om O post λοιπὰ add πάντα Λ 13 παρεκτικῆς v add τῆς ante μεταβατικῆς Λ (sed expunxit) 15 ἡμῖν om O post βίος add ὁ μὲν O 16 ἐστιν om RO 17 βίῳ om W[1] 20 γὰρ τοῦ om S 21 post ἐστὶ add μέλη v ἐκεῖνο pr: ἐκεῖνος v οὐδὲν RO τῶν: τῷ B τὸ O ἐκεῖνο alt: ἐκεῖνον v

δεόμεθα· οὕτως καὶ πρὸς τὸ ἔργον αἱ χεῖρες καὶ πρὸς τὸν δρόμον οἱ πόδες καὶ πρὸς τὴν παραδοχὴν τῶν σιτίων τὸ στόμα καὶ οἱ ὀδόντες πρὸς τὴν τῆς τροφῆς ὑπηρεσίαν καὶ πρὸς τὴν πέψιν τὰ σπλάγχνα καὶ πρὸς τὴν ἀποβολὴν τῶν ἀχρειωθέντων οἱ διεξοδικοὶ τῶν πόρων.
145 M ὅταν οὖν ἐκεῖνα μὴ ᾖ, τὰ δι’ ἐκεῖνα γινόμενα πῶς ἢ |ὑπὲρ τίνος ἔσται; ὡς ἀνάγκην εἶναι, εἰ μὲν μὴ εἴη περὶ τὸ σῶμα τὰ πρὸς οὐδὲν τῶν πρὸς τὴν ζωὴν ἐκείνην συνεργεῖν μέλλοντα, μηδὲν εἶναι τῶν νῦν συμπληρούντων ἡμῖν τὸ σῶμα, ἐν ἄλλοις γὰρ ἡ ζωή, καὶ οὐκέτ’ ἄν τις τὸ τοιοῦτον ἀνάστασιν ὀνομάσειε τῶν καθ’ ἕκαστον μελῶν διὰ τὴν ἐν ἐκείνῃ τῇ ζωῇ ἀχρηστίαν οὐ συνανισταμένων τῷ σώματι. εἰ δὲ διὰ πάντων ἔσται τούτων ἐνεργὸς ἡ ἀνάστασις, μάταια ἡμῖν καὶ ἀνόνητα πρὸς τὴν ζωὴν ἐκείνην δημιουργήσει ὁ ἐνεργῶν τὴν ἀνάστασιν· ἀλλὰ μὴν καὶ εἶναι πιστεύειν χρὴ τὴν ἀνάστασιν καὶ μὴ ματαίαν εἶναι. οὐκοῦν προσεκτέον τῷ λόγῳ, ὅπως ἂν ἡμῖν διὰ πάντων ἐν τῷ δόγματι τὸ εἰκὸς διασῴζοιτο.

Ἐμοῦ δὲ ταῦτα διεξελθόντος, Οὐκ ἀγεννῶς, φησὶν ἡ διδάσκαλος, κατὰ τὴν λεγομένην ῥητορικὴν τῶν τῆς ἀναστάσεως δογμάτων κατενεχείρησας πιθανῶς τοῖς ἀνασκευαστικοῖς τῶν λόγων ἐν κύκλῳ περιδραμὼν τὴν ἀλήθειαν, ὥστε τοὺς μὴ λίαν ἐπεσκεμμένους τὸ τῆς ἀληθείας μυστήριον παθεῖν ἄν τι κατὰ τὸ εἰκὸς πρὸς τὸν

15 cf. Plat. Tim. 56a1, 68d2 16 imit. Plat. Charm. 158c7; Rep. 529a9 19 imit. Plat. Conv. 222c4–5

ABC ΛΑW ROΣE S 1 καὶ pr om ABLSv 3 τὰ σπλάγχνα ante πρὸς alt coll E 4 ἐξοδικοὶ LRv δεδικοὶ O 5 οὖν om ΣE διὰ O δι’ ἃ R γενόμενα CLΛW γέγονε RO 6 post ἀνάγκην add μὴ Λ (sed expunxit) μὴ om RO περὶ τὸ σῶμα τὰ: περιττὰ τὰ σώματα LROΣ (ut vid, sed corr) Ev τὰ: τὸ A 7 τῶν: τὸν A τὴν B om ΛSv μηδὲ εἶναί τι LROv 8 νῦν om RO οὐκέτι v οὐκ RO 9 ἄν τις om v τὸ: τὸν A ἕκαστα R 10 ἐν om Av συνανιστάμενον A συνισταμένων W^1OES 11 τούτων ἔσται coll A ἔσται: εἶναι O ἐναργὴς v μάται B μάταιαν Λ 12 ἀνόνητον Λ post ἀνόνητα add ἃ ABCΣ 16 διεξελθόντα (sic) ante ταῦτα coll O ἀγενῶς BR 18 κατεπεχείρησας Lv κατεπιχείρησας RO ἀνασκευαστικοῖς: σκευα in ras Λ^2 τῶν λόγων: λόγοις Λ^2 λόγων ἐν om sed adscr in mg A 19 περιδραμεῖν O 19–20 ἐπισκεμμένους O 20 ἄν om RO τι: πως τὸ v

λόγον καὶ οἰηθῆναι μὴ ἔξω τοῦ δέοντος ἐπῆχθαι τοῖς εἰρημένοις τὴν ἐπαπόρησιν. ἔχει δὲ οὐχ οὕτως, φησίν, ἡ ἀλήθεια, κἂν ἀδυνάτως ἔχωμεν ἐκ τῶν ὁμοίων ἀντιρρητορεύειν τῷ λόγῳ· ἀλλ' ὁ μὲν ἀληθὴς περὶ τούτων λόγος ἐν τοῖς ἀποκρύφοις τῆς σοφίας θησαυροῖς τεταμίευται τότε εἰς τὸ ἐμφανὲς ἥξων, ὅταν ἔργῳ τὸ τῆς ἀναστάσεως διδαχθῶμεν μυστήριον, ὅτε οὐκέτι δεήσει ῥημάτων ἡμῖν πρὸς τὴν τῶν ἐλπιζομένων φανέρωσιν. ἀλλ' ὥσπερ ἐν νυκτὶ πολλῶν κινουμένων τοῖς διαγρυπνοῦσι λόγων περὶ τῆς τοῦ ἡλίου λαμπηδόνος, οἵα ἐστίν, ἀργὴν ποιεῖ τὴν τοῦ λόγου ὑπογραφὴν προφανεῖσα μόνον τῆς ἀκτῖνος ἡ χάρις, οὕτως πάντα λογισμὸν στοχαστικῶς τῆς μελλούσης καταστάσεως ἐφαπτόμενον ἀντ' οὐδενὸς ἀποδείκνυσι, ὅταν γένηται ἡμῖν ἐν τῇ πείρᾳ τὸ προσδοκώμενον. ἐπεὶ δὲ χρὴ μὴ παντάπασιν ἀνεξετάστους ἐαθῆναι τὰς ἀνθυπενεχθείσας ἡμῖν ἐνστάσεις, οὑτωσὶ τὸν περὶ τούτων λόγον διαληψόμεθα. νοῆσαι χρὴ πρῶτον, τίς ὁ σκοπὸς τοῦ κατὰ τὴν ἀνάστασιν δόγματος καὶ ὅτου χάριν καὶ εἴρηται τοῦτο παρὰ τῆς ἁγίας γραφῆς καὶ πεπίστευται. οὐκοῦν, ὡς ἄν τις ὅρῳ τινὶ τὸ τοιοῦτον περιλαβὼν ὑπογράψειεν,
148 M οὕτως ἐροῦ|μεν, ὅτι ἀνάστασίς ἐστιν ἡ εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀποκατάστασις. ἀλλ' ἐν τῇ πρώτῃ ζωῇ, ἧς αὐτὸς γέγονε

4–5 cf. Col. 2,3 19 cf. Act. 3,21; cf. e.g. Greg. Nyss. Eccl. 1 (GNO V) p. 296,16–18; Virg. 12 (GNO VIII,1) p. 302,5–9; Op. hom. 17 (PG 44) 188C; cf. Plat. Conv. 193d4–5

ABC L(Λ)W ROΣE S 1 εἰρημένοις: λεγομένοις R 2 ἀπόρησιν E 3 ἔχομεν BL ἀνομοίων O ἀντιρητορεύειν codd (sed corr S^2)v 4 τούτου RO τοῖς om E τῆς om v τῆς σοφίας om Σ 5 τὸ alt: τῶ O 6 ὅτε: ὅτι L δεήσῃ L 7 τῶν om v 8 λόγω O λόγοις v 10 τῆς: τοῦ O παντάπασιν O 10–11 λογισμὸς… ἐφαπτόμενος O 11 ὑποδείκνυσιν v 12 ὅτε O v τῇ om S ἐπειδὴ δὲ L v δὲ in ras Λ 13 ἀντυπενεχθείσης v 14 οὕτως WR οὕτω O τούτου C τοῦτον R λόγον om O διαληψώμεθα AW^1 14–15 πρῶτον χρὴ coll O 15 add μὲν ante τίς C 16 καὶ pr om ROΣE τούτου O παρά: περὶ O γραφῆς: φωνῆς ABCL v 17 τοιοῦτο ALROΣE παραλαβὼν O 18–113.20 ὅτι … τὰ om Λ sed add $Λ^2$ 19 ἀλλὰ CW

δημιουργὸς ὁ θεός, οὔτε γῆρας ἦν ὡς εἰκὸς οὔτε νηπιότης οὔτε τὰ κατὰ τὰς πολυτρόπους ἀρρωστίας πάθη οὔτε τι ἄλλο τῆς σωματικῆς ταλαιπωρίας οὐδέν· οὔτε γὰρ εἰκὸς ἦν τοιαῦτα δημιουργεῖν τὸν θεόν. ἀλλὰ θεῖόν τι χρῆμα ἦν ἡ ἀνθρωπίνη φύσις, πρὶν ἐν ὁρμῇ γενέσθαι τοῦ κακοῦ τὸ ἀνθρώπινον, ταῦτα δὲ πάντα τῇ εἰσόδῳ τῆς κακίας ἡμῖν συνεισέβαλεν. οὐκοῦν οὐδεμίαν ἀνάγκην ἕξει ὁ ἄνευ κακίας βίος ἐν τοῖς διὰ ταύτην συμβεβηκόσι εἶναι· ὥσπερ γὰρ ἐπακολουθεῖ τῷ διὰ κρυμῶν ὁδοιποροῦντι τὸ ψύχεσθαι τὸ σῶμα ἢ τῷ διὰ θερμῆς ἀκτῖνος πορευομένῳ τὸ μελαίνεσθαι τὴν ἐπιφάνειαν, εἰ δὲ ἐκτὸς ἑκατέρου γένοιτο τούτων, συναπηλλάγη πάντως καὶ τοῦ μελασμοῦ καὶ τῆς ψύξεως καὶ οὐκ ἄν τις εὐλόγως ἐπιζητοίη τὸ ἔκ τινος αἰτίας συμβαῖνον τῆς αἰτίας οὐκ οὔσης, οὕτως ἡ φύσις ἡμῶν ἐμπαθὴς γενομένη τοῖς ἀναγκαίως ἐπακολουθοῦσι τῇ παθητικῇ ζωῇ συνηνέχθη, πρὸς δὲ τὴν ἀπαθῆ μακαριότητα πάλιν ἀναδραμοῦσα οὐκέτι τοῖς ἐπακολουθήμασι τῆς κακίας συνενεχθήσεται. ἐπεὶ οὖν ὅσα ἐκ τῆς ἀλόγου ζωῆς τῇ ἀνθρωπίνῃ κατεμίχθη φύσει οὐ πρότερον ἦν ἐν ἡμῖν, πρὶν εἰς πάθος διὰ κακίας πεσεῖν τὸ ἀνθρώπινον, ἀναγκαίως καταλιπόντες τὸ πάθος καὶ πάντα, ὅσα μετ᾽ αὐτοῦ καθορᾶται, συγκαταλείψομεν. ὥστε οὐκ ἄν τις εὐλόγως ἐν τῷ βίῳ ἐκείνῳ τὰ ἐκ τοῦ πάθους ἡμῖν ἐπισυμβεβηκότα ζητήσειεν· ὡς γὰρ εἴ τις ῥωγαλέον περὶ ἑαυτὸν ἔχων χιτῶνα γυμνωθείη τοῦ περιβλήματος, οὐκέτ᾽ ἂν τὴν τοῦ ἀπορριφέντος ἀσχημοσύνην ἐφ᾽ ἑαυτοῦ βλέποι, οὕτως καὶ ἡμῶν ἀποδυσαμένων τὸν νεκρὸν ἐκεῖνον καὶ εἰδεχθῆ

2–3 σωματικὴ ταλαιπωρία: cf. Greg. Nyss. Op. hom. 16 (PG 44) 180C

ABC L(Λ)W ROΣE S 1 τὰ om AO 2 τὰς om O τι om W (sed sscr) v 3 add τὰ ante τοιαῦτα LWv 4–5 γίνεσθαι ALv 6 ἀνάγκη B ἔχει O om R ὁ om O 7 ταῦτα Lv 8 τῷ: τὸ A κρυμοῦ R τῷ διὰ: διὰ τὸ (!) O 8–9 θερμῶν ἀκτίνων v 9 ἐκτὸς: ἐκ τοῦ A 10 τούτων om B συναπαλλαγήσεται Lv τοῦ om AB 11 ζητοίη $Λ^2$ 12 τῆς om $Λ^2$ 13 γινομένη BCO (in mg) 13–15 ἐπακολουθοῦσι … τοῖς om O 15 ἐπακολουθοῦσι O (sed corr) v 17 ἐκπεσεῖν $Λ^2$ ἐμπεσεῖν S 18 πάντα: πάλιν B 20 inde ab ἐκ cod Λ συμβεβηκότα AB v ὥσπερ LΣES v 21 αὐτὸν v 22 οὐκέτι Ov βλέπη C 23 ἀειδεχθῆ B

χιτῶνα τὸν ἐκ τῶν ἀλόγων δερμάτων ἡμῖν ἐπιβληθέντα, δέρμα δὲ ἀκούων τὸ σχῆμα τῆς ἀλόγου φύσεως νοεῖν μοι δοκῶ, ᾧ πρὸς τὸ πάθος οἰκειωθέντες περιεβλήθημεν· πάντα, ὅσα τοῦ ἀλόγου δέρματος περὶ ἡμᾶς ἦν, ἐν τῇ ἀπεκδύσει τοῦ χιτῶνος συναπεκδυθήσεται. ἔστι δὲ ἃ προσελάβομεν ἀπὸ τοῦ ἀλόγου δέρματος ἡ μίξις, ἡ σύλληψις, 149 M ὁ τόκος, ὁ ῥύπος, ἡ θηλή, ἡ τροφή, ἡ ἐκ|ποίησις, ἡ κατ' ὀλίγον ἐπὶ τὸ τέλειον αὔξησις, ἡ ἀκμή, τὸ γῆρας, ἡ νόσος, ὁ θάνατος. εἰ οὖν ἐκεῖνο περὶ ἡμᾶς οὐκ ἔσται, πῶς ἡμῖν τὰ ἐξ ἐκείνου ὑπολειφθήσεται; ὥστε μάταιον ἄλλης τινὸς καταστάσεως κατὰ τὴν μέλλουσαν ζωὴν ἐλπιζομένης διὰ τῶν μηδὲν αὐτῇ κοινωνούντων ἐνίστασθαι πρὸς τὸ δόγμα τῆς ἀναστάσεως. τί γὰρ κοινὸν ἔχει ῥικνότης καὶ πολυσαρκία καὶ τηκεδὼν καὶ πληθώρα καὶ εἴ τι ἄλλο τῇ ῥευστῇ φύσει τῶν σωμάτων ἐπισυμβαίνει, πρὸς τὴν ζωὴν ἐκείνην, ἣ τῆς ῥοώδους τε καὶ παροδικῆς τοῦ βίου διαγωγῆς ἠλλοτρίωται; ἓν ζητεῖ μόνον ὁ τῆς ἀναστάσεως λόγος τὸ φυῆναι διὰ γεννήσεως ἄνθρωπον, μᾶλλον δέ, καθώς φησι τὸ εὐαγγέλιον, εἰ Ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον· τὸ δὲ μακρόβιον ἢ ὠκύμορον ἢ τὸν τοῦ θανάτου τρόπον τοιῶσδε ἢ ἑτέρως συμβεβηκέναι μάταιον τῷ τῆς ἀναστάσεως λόγῳ συνεξετάζειν. ὅπως γὰρ ἂν τοῦτο δῶμεν καθ' ὑπόθεσιν ἔχειν, ἐν τῷ ὁμοίῳ πάντως ἐστὶν οὔτε δυσκολίας οὔτε ῥᾳστώνης ἐκ τῆς τοιαύτης

1 χιτών: cf. Gen. 3,21; cf. e.g. Greg. Nyss. Melet. (GNO IX) p. 454,13 app. test. et Or. cat. 8 (GNO III,4) p. 30,5–6 app. test.; cf. Meth. Res. I 39,5–6 (ed. Bonwetsch, p. 283,9–284,7); I 5,2 (ed. Bonwetsch, p. 226,11–13); I 33,3 (ed. Bonwetsch, p. 270,11–17); Greg. Naz. Carm. 1,1,8 v. 115 (PG 37) 455A; cf. Plat. Phaed. 87d2–e5; cf. Dörrie 1990, 292–298   13–14 cf. p. 108,1–4   16 Joh. 16,21

AB(post 16 κόσμον def cod)C ΛAW(post χιτῶνα def cod) ROΣE S
2 τὸ σχῆμα om O   2–3 φύσεως ... τοῦ om O   2 ᾧ: ὃ S   4 ἦν om R   συναπεκδυθήσεται: συναποβαλλόμεθα LROv   4–5 ἔστι δὲ ἃ προσελάβομεν om ROE   5 προσέλαβεν Lv   συλλημψις L   8 ἐστι C   ἐξ om Λ   ὑποληφθήσεται B   10 ἀνθίστασθαι RO   11 add ἡ ante ῥικνότης v   12 πληθοῦρα CO   ῥευστῇ om RO   14 add τῆς ante τοῦ C   15 γεννήσεως LRO: γενέσεως cett v   16 add καὶ ante καθώς v   ἐγενήθη Ev   17 post τρόπον add ἢ O   18 ἑτέρως: τοιῶσδε R   (συμβεβη)κέναι fort ex corr Σ συμβέβηκε ΛROE   λόγον O (ex corr)   19 τοῦτω O   δῶμεν τοῦτο coll A   ὁμοίως O

διαφορᾶς περὶ τὴν ἀνάστασιν οὔσης· τὸν γὰρ τοῦ ζῆν ἀρξάμενον ζῆσαι χρὴ πάντως τῆς ἐν τῷ μέσῳ διὰ τοῦ θανάτου συμβάσης αὐτῷ διαλύσεως ἐν τῇ ἀναστάσει διορθωθείσης· τὸ δὲ πῶς ἢ πότε ἡ διάλυσις γίνεται τί τοῦτο πρὸς τὴν ἀνάστασιν; πρὸς ἕτερον γὰρ σκοπὸν βλέπει ἡ περὶ τούτου σκέψις, οἷον καθ' ἡδονήν τις ἐβίω ἢ ἀνιώμενος, κατ' ἀρετὴν ἢ κακίαν, ἐπαινετὸς ἢ ὑπαίτιος, ἐλεεινῶς ἢ μακαρίως παρῆλθε τὸν χρόνον· ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα ἐκ τοῦ μέτρου τῆς ζωῆς καὶ ἐκ τοῦ εἴδους τοῦ κατὰ τὸν βίον εὑρίσκεται καὶ οὕτως πρὸς τὴν κρίσιν τῶν βεβιωμένων ἀναγκαῖον ἂν εἴη τῷ κριτῇ πάθος καὶ λώβην καὶ νόσον καὶ γῆρας καὶ ἀκμὴν καὶ νεότητα καὶ πλοῦτον καὶ πενίαν διερευνᾶσθαι, ὅπως τις δι' ἑκάστου τούτων γενόμενος ἢ εὖ ἢ κακῶς τὸν συγκληρωθέντα βίον παρέδραμε καὶ ἢ πολλῶν ἐγένετο δεκτικὸς ἀγαθῶν ἢ κακῶν ἐν μακρῷ τῷ χρόνῳ ἢ οὐδὲ τὴν ἀρχὴν ὅλως ἑκατέρου τούτων ἐφήψατο ἐν ἀτελεῖ τῇ διανοίᾳ τοῦ ζῆν παυσάμενος. ὅταν δὲ πρὸς τὴν πρώτην τοῦ ἀνθρώπου κατασκευὴν δι' ἀναστάσεως ὁ θεὸς ἐπανάγῃ τὴν φύσιν, ἀργὸν ἂν εἴη τὸ τὰ τοιαῦτα λέγειν καὶ τὸ διὰ τῶν τοιούτων ἐνστάσεων οἴεσθαι τὴν δύναμιν τοῦ θεοῦ πρὸς τὸν σκοπὸν ἐμποδίζεσθαι.
152 M |σκοπὸς δὲ αὐτῷ εἷς, τὸ τελειωθέντος ἤδη διὰ τῶν καθ' ἕκαστον ἀνθρώπων παντὸς τοῦ τῆς φύσεως ἡμῶν πληρώματος, τῶν μὲν εὐθὺς ἤδη κατὰ τὸν βίον τοῦτον ἀπὸ κακίας κεκαθαρμένων, τῶν δὲ μετὰ ταῦτα διὰ τοῦ πυρὸς τοῖς καθήκουσι χρόνοις ἰατρευθέντων, τῶν δὲ ἐπ' ἴσης καὶ τοῦ καλοῦ καὶ τοῦ κακοῦ τὴν πεῖραν παρὰ τὸν τῇδε βίον ἀγνοησάντων, πᾶσι προθεῖναι τὴν μετουσίαν τῶν ἐν αὐτῷ

AC LΛ ROΣE S 3 πῶς: ὅπως RO 4 γέγονε R τουτω O 5 ἐβίου Λ 6 ἐπαινετῶς ἢ ὑπαιτίως ΑΣS 6–7 ἐλεεινὸς ἢ μακάριος C 7 χρόνον: βίον S 8 τοῦ om v 9 οὕτω v ὡς RO εἴη om A sed sscr 12 γινόμενος RO ἢ pr om E κληρωθέντα O 13 ἢ pr: εἰ ARΣS om O δεκτικῶν O 14 τῷ om Λ 14–15 ἀτελεῖ: ἐντελεῖ Λ (sscr a) ἁπλῇ O 16 ἐπανάγει LOΣ (sed corr) ἐπανάγοι AS ἐπαναγάγῃ Λ 17 ἀργὸν: ἔργον ΣES τὸ ACS: om cett v λέγει O 17–18 συστάσεων ΣE 18 τοῦ θεοῦ δύναμιν coll v 19 ἤδη: ἢ v τῶν: τὸν O 19–20 τὸν ... ἄνθρωπον Λ 21 κατὰ: καὶ R 21–22 τῶν ... ἰατρευθέντων expunxit L 23 ἐφίσης O τῇ πείρᾳ Λ 24 προσθῆναι O

καλῶν, ἅπερ φησὶν ἡ γραφὴ μήτε ὀφθαλμὸν ἰδεῖν μήτε ἀκοὴν δέξασθαι μήτε λογισμοῖς ἐφικτὰ γενέσθαι. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶ κατά γε τὸν ἐμὸν λόγον ἢ τὸ ἐν αὐτῷ τῷ θεῷ γενέσθαι· τὸ γὰρ ἀγαθὸν τὸ ὑπὲρ ἀκοὴν καὶ ὀφθαλμὸν καὶ καρδίαν αὐτὸ ἂν εἴη τὸ τοῦ παντὸς ὑπερκείμενον. ἡ δὲ τοῦ κατ' ἀρετὴν ἢ κακίαν βίου διαφορὰ ἐν τῷ μετὰ ταῦτα κατὰ τοῦτο δειχθήσεται μάλιστα ἐν τῷ θᾶττον ἢ σχολαιότερον μετασχεῖν τῆς ἐλπιζομένης μακαριότητος· τῷ γὰρ μέτρῳ τῆς ἐγγενομένης ἑκάστῳ κακίας ἀναλογήσει πάντως καὶ ἡ τῆς ἰατρείας παράτασις, ἰατρεία δ' ἂν εἴη ψυχῆς τὸ τῆς κακίας καθάρσιον. τοῦτο δ' ἄνευ ἀλγεινῆς διαθέσεως κατορθωθῆναι οὐχ οἷόν τε, καθὼς ἐν τοῖς προλαβοῦσιν ἐξήτασται. μᾶλλον δ' ἄν τις ἐπιγνοίη τῶν ἐνστάσεων τὸ περιττὸν καὶ ἀνοίκειον εἰς τὸ βάθος τῆς ἀποστολικῆς διακύψας σοφίας· τοῖς γὰρ Κορινθίοις τὸ περὶ τούτων σαφηνίζων μυστήριον τάχα τὰ αὐτὰ προτεινόντων αὐτῷ κἀκείνων, ἃ παρὰ τῶν νῦν κατεπιχειρούντων τοῦ δόγματος ἐπὶ ἀνατροπῇ τῶν πεπιστευμένων προφέρεται, τῷ ἰδίῳ ἀξιώματι τὸ τῆς ἀμαθίας αὐτῶν ἐπικόπτων θράσος οὑτωσὶ λέγει· ἐρεῖς οὖν μοι· Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; ἄφρων, φησί, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ, καὶ ὃ σπείρεις οὐ τὸ σῶμα τὸ

1–2 I Cor. 2,9 13 et sequentes de explicatione I Cor. 15,35 sqq. cf. Greg. Nyss. Sanct. Pasch. (GNO IX) p. 259,17–260,23; Pulcher. (IX) p. 471,7–472,18; Tunc et ipse (GNO III,2) p. 10,10–22; apud patres persaepe cf. Gantz, p. 274 ann. 12; de explicatione I Cor. 15,35 sqq. apud Orig. et Meth. cf. Altermath, p. 104–132; ad analogiam seminis et apocatastaseos cf. Gantz, p. 272 sqq. 17–117.3 I Cor. 15,35–38

AC ΛΛ ROΣE S 1 μήτε pr: μηδὲ RO 2 ἐφικτὰ AS: ἐφικτὸν cett v γίνεσθαι ΣE 5 βίου om E 7 σχολαίτερον Λ 8 ἐγγενομένης: ε alt incert Σ ἐγγινομένης OE κακίας ἑκάστω coll S ἀναλογήσεται v 9 παράστασις Λ λατρεία Λ δὲ ALv 10 τοῦτου O δὲ ΛΣE 11 δὲ ACOv ἂν om C 13 τούτου RO 14 τὰ αὐτὰ: ταῦτα Lv αὐτῷ κἀκείνων om RO 15 παρὰ: περὶ O τῶν: τὰ L 16 ἐπιφέρεται RO ἀμαθίας: ἀπαθείας Λ 17 ἐπισκόπτων L οὕτως E 18 ἄφρον RΣES 19 οὐ ... σπείρεις om O (sed adscr in mg) καὶ om O (in mg) ὁ σπείρων RO (in mg) τὸ pr om ROΣE σῶμα post 117,1 γενησόμενον coll RO τὸ alt om C

γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον εἰ τύχοι σίτου ἤ ἄλλου τινὸς τῶν σπερμάτων· ὁ δὲ θεὸς δίδωσιν αὐτῷ σῶμα καθὼς ἠθέλησεν. ἐνταῦθα γὰρ ἐπιστομίζειν μοι δοκεῖ τοὺς ἀγνοοῦντας τὰ οἰκεῖα μέτρα τῆς φύσεως καὶ πρὸς τὴν ἑαυτῶν ἰσχὺν τὴν θείαν ἀντεξετάζοντας δύναμιν καὶ οἰομένους τοσοῦτον εἶναι τῷ θεῷ δυνατόν, ὅσον χωρεῖ καὶ ἡ ἀνθρωπίνη κατάληψις, τὸ δὲ ὑπὲρ ἡμᾶς ὂν καὶ τοῦ θεοῦ παριέναι τὴν δύναμιν· ὁ γὰρ ἐρωτήσας τὸν ἀπόστολον τὸ Πῶς ἐγείρονται οἱ νεκροί, ὡς ἀμήχανον ὂν τὸ ἐσκεδασμένον τῶν τοῦ σώματος στοιχείων εἰς συνδρομὴν πάλιν ἐλθεῖν ἀποφαίνεται καὶ ὡς τούτου μὴ δυναμένου, ἄλλου δὲ σώματος παρὰ τὴν συνδρομὴν τῶν στοιχείων οὐχ ὑπολειπομένου τοῦτό φησι κατὰ τοὺς δεινοὺς τῶν
153 M διαλεγομένων συμπεράνας διά τινος ἀκολουθίας, ἅπερ ὑπέθετο· |εἰ σῶμά ἐστι συνδρομὴ στοιχείων, τούτων δὲ ἀμήχανος ἐκ δευτέρου ἡ σύνοδος, ποίῳ χρήσονται σώματι οἱ ἀνιστάμενοι; τοῦτο τοίνυν τὸ δοκοῦν διά τινος τεχνικῆς σοφίας αὐτοῖς συμπεπλέχθαι ἀφροσύνην ὠνόμασε τῶν μὴ κατιδόντων ἐν τῇ λοιπῇ κτίσει τὸ ὑπερέχον τῆς θείας δυνάμεως· καταλιπὼν γὰρ τὰ ὑψηλότερα τῶν τοῦ θεοῦ θαυμάτων, δι' ὧν ἦν εἰς ἀπορίαν ἀγαγεῖν τὸν ἀκούοντα, οἷον τί τὸ οὐράνιον σῶμα καὶ πόθεν; τί δὲ τὸ ἡλιακὸν ἢ τὸ σεληναῖον ἢ τὸ ἐν τοῖς ἄστροις φαινόμενον; ὁ αἰθήρ; ὁ ἀήρ; τὸ ὕδωρ; ἡ γῆ; ἐκ τῶν συντρόφων ἡμῖν καὶ κοινοτέρων ἐλέγχει τῶν ἐνισταμένων τὸ ἀνεπίσκεπτον. οὐδὲ ἡ γεωργία σε διδάσκει, φησίν, ὅτι μάταιός ἐστιν

19–20 cf. I Cor. 15,40–41   22 cf. Greg. Nyss. Mort. (GNO IX) p. 49,6–52,4

AC LΛ ROΣE S 1 σπείρεις: ς eras R τύχη Λ 3 δοκεῖ μοι coll O 5 τοιοῦτον Λ (sed corr) τῷ: τὸ E 6 καὶ ante χωρεῖ coll A add C καὶ om RΣE 7 περιέναι O 8 ἐσκεδασμένων v 9 συνδρομεῖν O (sed corr) 10 add μὲν ante μὴ S ἀλλὸυδὲ A παρὰ: περὶ O πρὸς ΛΣE 11 τοῦτόν Cv add τὸ ante τοὺς O 13 post συνδρομὴ add δὲ C 14 σώματι χρήσονται coll A 15 τεχνικῆς post συμπεπλέχθαι coll RO αὐτοῖς σοφίας coll C 15–16 add ἀφορμῆς ante ἀφροσύνην O 16 μὴ κατειδόντων L μὴ κατειδότων CΛ μηκέτιδόντων R (κτί)σει om R 17 τῶν om v 18 θαύματα v 19 σεληνιακὸν E 20 add ἢ ante ὁ αἰθήρ C ὁ pr om A post γῆ add ἀλλ' LΛOE v 21 κοινοτέρως O

ὁ πρὸς τὸ ἑαυτοῦ μέτρον τῆς θείας δυνάμεως στοχαζόμενος; πόθεν τοῖς σπέρμασι τὰ περιφυόμενα σώματα; τί δὲ καθηγεῖται τῆς βλάστης αὐτῶν; οὐχὶ θάνατος, εἴπερ θάνατός ἐστιν ἡ τοῦ συνεστηκότος διάλυσις; τὸ γὰρ σπέρμα οὐκ ἂν ἔλθοι εἰς ἔκφυσιν μὴ διαλυθὲν ἐν τῇ βώλῳ καὶ γενόμενον ἀραιὸν καὶ πολύπορον, ὥστε καταμιχθῆναι πρὸς τὴν παρακειμένην ἰκμάδα τῇ οἰκείᾳ ποιότητι καὶ οὕτως εἰς ῥίζαν καὶ βλάστην μεταποιηθῆναι καὶ μηδὲ ἐν τούτῳ μεῖναι, ἀλλὰ μεταβαλεῖν εἰς καλάμην τοῖς διὰ μέσου γόνασιν οἷόν τισι συνδέσμοις ὑπεζωσμένην πρὸς τὸ δύνασθαι φέρειν ἐν ὀρθίῳ τῷ σχήματι τὸν στάχυν τῷ καρπῷ βαρυνόμενον· ποῦ τοίνυν ταῦτα περὶ τὸν σῖτον ἦν πρὸ τῆς ἐν τῇ βώλῳ αὐτοῦ διαλύσεως; ἀλλὰ μὴν ἐκεῖθεν τοῦτό ἐστιν· εἰ γὰρ μὴ ἐκεῖνο πρότερον ἦν, οὐδ' ἂν ὁ στάχυς ἐγένετο. ὥσπερ τοίνυν τὸ κατὰ τὸν στάχυν σῶμα ἐκ τοῦ σπέρματος φύεται τῆς θείας δυνάμεως ἐξ αὐτοῦ ἐκείνου τοῦτο φιλοτεχνούσης καὶ οὔτε δι' ὅλων ταὐτόν ἐστι τῷ σπέρματι οὔτε παντάπασιν ἕτερον, οὕτω, φησί, καὶ τὸ μυστήριον τῆς ἀναστάσεως ἤδη σοι διὰ τῶν ἐν τοῖς σπέρμασι θαυματοποιουμένων προηρμήνευται ὡς τῆς θείας δυνάμεως ἐν τῷ περιόντι τῆς ἐξουσίας μὴ μόνον ἐκεῖνο τὸ διαλυθέν σοι πάλιν ἀποδιδούσης, ἀλλά σοι καὶ ἕτερα μεγάλα τε καὶ καλὰ προστιθείσης, δι' ὧν σοι πρὸς τὸ μεγαλοπρεπέστερον ἡ φύσις κατασκευάζεται. Σπείρεται γάρ, φησίν, ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται

8–10 cf. Greg. Nyss. Sanct. Pasch. (GNO IX) p. 260,10–13
21–119.2 I Cor. 15,42–44

AC LΛ ROΣE S 1 στοχαζόμενος ACΛ: τὸ ὑπερέχον add ante στοχαζόμενος LΛ²ΣESv add post στοχαζόμενος RO 2 ἐπιφυόμενα ΣES σώματα: σπέρματα Λ 3 εἴπερ om E 4 μὴ ἀνέλθοι v 5 βόλῳ COv γινόμενον E 6 add ἰσχὺν ἢ ante ἰκμάδα E 7–8 τούτοις RO 8 post ἀλλὰ add καὶ O γεγόνασιν O 11 τῇ om RO βόλω O 12 τουτου O μὴ ante γὰρ coll S 13 τὰ … σώματα ΣE 14 φύεται: φαίνεται v 15 ὅλου v 17–18 προερμήνευται Λ¹ προερμηνεύεται LROv 19 μή: οὐ ALv ἀναδιδούσης ΣE σοι alt om L 19–20 σοι καὶ ἕτερα om v 20 τε om ΣE προστιθούσης LO σοι om RO τὸ: τὸν A 21 γάρ om Lv φησίν om O 22 ἐν ἀφθαρσίᾳ ἐγείρεται coll O

ἐν δυνάμει· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. ὡς γὰρ καταλιπὼν μετὰ τὸ 156 M διαλυ|θῆναι ὁ ἐν τῇ βώλῳ σῖτος τὴν ἐν τῷ ποσῷ βραχύτητα καὶ τὴν ἐν τῷ ποιῷ τοῦ σχήματος αὐτοῦ ἰδιότητα ἑαυτὸν οὐκ ἀφῆκεν, ἀλλ' ἐν ἑαυτῷ μένων στάχυς γίνεται πάμπολυ διαφέρων αὐτὸς ἑαυτοῦ μεγέθει καὶ κάλλει καὶ ποικιλίᾳ καὶ σχήματι, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἀνθρωπίνη φύσις ἐναφεῖσα τῷ θανάτῳ πάντα τὰ περὶ ἑαυτὴν ἰδιώματα, ὅσα διὰ τῆς ἐμπαθοῦς διαθέσεως ἐπεκτήσατο, τὴν ἀτιμίαν λέγω, τὴν φθοράν, τὴν ἀσθένειαν, τὴν κατὰ τὰς ἡλικίας διαφοράν· ἑαυτὴν οὐκ ἀφίησιν, ἀλλ' ὥσπερ εἰς στάχυν τινὰ πρὸς τὴν ἀφθαρσίαν μεθίσταται καὶ τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν δύναμιν καὶ τὴν ἐν παντὶ τελειότητα καὶ τὸ μηκέτι τὴν ζωὴν αὐτῆς οἰκονομεῖσθαι τοῖς φυσικοῖς ἰδιώμασιν, ἀλλ' εἰς πνευματικήν τινα καὶ ἀπαθῆ μεταβῆναι κατάστασιν· αὕτη γάρ ἐστιν ἡ τοῦ ψυχικοῦ σώματος ἰδιότης, τὸ ἀεὶ διά τινος ῥοῆς καὶ κινήσεως ἀπὸ τοῦ ἐν ᾧ ἐστιν ἀλλοιοῦσθαι καὶ μεταβάλλειν εἰς ἕτερον· ἃ γὰρ νῦν οὐκ ἐν ἀνθρώποις μόνον ὁρῶμεν, ἀλλὰ καὶ ἐν φυτοῖς καὶ ἐν βοσκήμασι, τούτων οὐδὲν ἐν τῷ τότε βίῳ ὑπολειφθήσεται. δοκεῖ δέ μοι καὶ διὰ πάντων συναγορεύειν ὁ ἀποστολικὸς λόγος τῇ καθ' ἡμᾶς ὑπολήψει τῆς ἀναστάσεως καὶ τοῦτο δεικνύειν, ὅπερ ὁ ἡμέτερος ὁρισμὸς περιέχει λέγων μηδὲν ἕτερον εἶναι ἀνάστασιν ἢ τὴν εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀποκατάστασιν. ἐπειδὴ γὰρ ἐν τῇ πρώτῃ κοσμογενείᾳ τοῦτο παρὰ τῆς γραφῆς μεμαθήκαμεν, ὅτι πρῶτον ἐβλάστησεν ἡ γῆ βοτάνην χόρτου, καθὼς ὁ λόγος φησίν, εἶτα ἐκ τῆς

20–21 cf. supra p. 112,17–19 24 Gen. 1,11–12

AC LΛ ROΣE S 1 δυνάμει ... ἐν alt om C 3 ὁ om v βόλω O 4 τοῦ om v 5 ἐν αὐτῷ LOv μένων: μὲν C πάμπολλα v 6 σχήματι: χάριτι A 8 ἑαυτὴν: αὐτὴν CROΣEv 9 τὰς: τῆς v 12 πᾶσι E 13 αὐτὴν R 14 μεταβεβηκέναι AS 15 τὸ om v 16 νῦν: οὖν v 17 ἐν: ἐπ' Lv post ὁρῶμεν add καλὰ RO (om ἀλλὰ) add τοῖς ante φυτοῖς C 18 τούτων om RO τότε βίῳ: τῷδε βίῳ v βίω τούτω O ὑποληφθήσεται L 19 post πάντων add τούτων C ἀπόστολος (λόγος om) R 20 δείκνυσιν CRO 22 ἐπειδὴ: καὶ S post γὰρ add καὶ C 23 κοσμογενία L κοσμογονεία Σ κοσμογονία Ev τουτου O παρὰ: περὶ O

βλάστης τὸ σπέρμα ἐγένετο, οὗπερ ἐπὶ τὴν γῆν καταρρυέντος τὸ αὐτὸ πάλιν εἶδος τοῦ ἐξ ἀρχῆς φυέντος ἀνέδραμε, φησὶ δὲ τοῦτο ὁ θεῖος ἀπόστολος καὶ ἐπὶ τῆς ἀναστάσεως γίνεσθαι, οὐ μόνον τοῦτο παρ' αὐτοῦ διδασκόμεθα τὸ πρὸς τὸ μεγαλοπρεπέστερον μεθίστασθαι τὸ ἀνθρώπινον, ἀλλ' ὅτι τὸ ἐλπιζόμενον οὐδὲν ἕτερόν ἐστιν ἢ ὅπερ ἐν πρώτοις ἦν· ἐπειδὴ γὰρ τὸ κατ' ἀρχὰς οὐχὶ στάχυς ἀπὸ τοῦ σπέρματος, ἀλλ' ἐκεῖθεν τὸ σπέρμα, μετὰ ταῦτα δὲ οὗτος τῷ σπέρματι περιφύεται, ἡ τοῦ ὑποδείγματος ἀκολουθία σαφῶς ἐπιδείκνυσι τὸ πᾶσαν τὴν διὰ τῆς ἀναστάσεως ἀναβλαστήσασαν ἡμῖν μακαριότητα πρὸς τὴν ἐξ ἀρχῆς ἐπανιέναι χάριν. στάχυς γὰρ ὄντες
157 M τὸ κατ' ἀρχὰς τρόπον τινὰ καὶ ἡμεῖς τῷ καύσωνι τῆς |κακίας κατεξηράνθημεν, ὑπολαβοῦσα δὲ ἡμᾶς ἡ γῆ διὰ τοῦ θανάτου λυθέντας πάλιν κατὰ τὸ ἔαρ τῆς ἀναστάσεως στάχυν ἀναδείξει τὸν γυμνὸν τοῦτον κόκκον τοῦ σώματος εὐμεγέθη τε καὶ ἀμφιλαφῆ καὶ ὡραῖον καὶ εἰς τὸ οὐράνιον ὕψος ἀνατεινόμενον ἀντὶ καλάμης ἢ ἀνθερίκων τῇ ἀφθαρσίᾳ καὶ τοῖς λοιποῖς τῶν θεοπρεπῶν γνωρισμάτων ὡραϊζόμενον· Δεῖ γάρ, φησί, τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν· ἡ δὲ ἀφθαρσία καὶ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ δύναμις ἴδια τῆς θείας φύσεως εἶναι ὁμολογεῖται, ἅπερ πρότερόν τε περὶ τὸν κατ' εἰκόνα γενόμενον ἦν καὶ εἰσαῦθις ἐλπίζεται· ὁ γὰρ πρῶτος στάχυς ὁ πρῶτος ἄνθρωπος ἦν. ἀλλ' ἐπειδὴ τῇ τῆς κακίας εἰσόδῳ εἰς πλῆθος ἡ φύσις κατεμερίσθη, καθὼς γίνεται ὁ καρπὸς ἐν τῷ στάχυϊ, οὕτως

17 I Cor. 15,53 18–19 cf. I Cor. 15,42–43 19 cf. Gen. 1,26–27 20–21 cf. I Cor. 15,45

AC LΛ ROΣE S 1 τὸ om v ἐν τῇ γῇ R 2 ἀρχῆς: αὐτῆς Λ τοῦτου O 3 οὐ μόνον AΛ: οὐ γὰρ μόνον S οὐ μόνον δὲ cett v 4 τὸ πρὸς: ἐπὶ RO μεγαλοπρεπέστατον v 5 τοῦ ἐλπιζομένου A 6 οὐχὶ στάχυς om Λ οὐχ ὁ στάχυς Λ^{2} in mg οὐχὶ: οὐχ ὁ ACLΛ^{2} (in mg) οὐχ ὡς v 8–9 ἐπιδεικνύει E ὑποδείκνυσιν AS 9 τὴν om A ἀναστάσεως om A ἀναβλαστήσουσαν CΣEv ἀναβλάστης οὖσαν L 11 τὸ om v add ἐπειδὴ ante τῷ ROv 12 δὲ om v 14 ὡραῖον: ὄρθιον ROΣEv 15 ἀνθέρικος v 16 γνωρισμάτων: χαρισμάτων RO 16–17 ὡραϊζόμενος R 17 φησί om v τοῦτω O 18 ἰδία Σ 18–19 θείας post φύσεως coll A om Λ 19 ὡμολόγηται ΛROE 21 post ἦν add ὁ ἀδάμ ACOS add Ἀδάμ Rv scil ex I Cor 15, 45 ἀλλ' om (!) RO post ἐπειδὴ add δὲ RO τῇ: τῆς A om O 22 add καὶ ante οὕτως RO

οἱ καθ᾽ ἕκαστον γυμνωθέντες τοῦ κατὰ τὸν στάχυν ἐκεῖνον εἴδους καὶ τῇ γῇ καταμιχθέντες πάλιν ἐν τῇ ἀναστάσει κατὰ τὸ ἀρχέγονον κάλλος ἀναφυόμεθα ἀντὶ ἑνὸς τοῦ πρώτου στάχυος αἱ ἄπειροι μυριάδες τῶν ληΐων γενόμενοι. ὁ δὲ κατ᾽ ἀρετὴν βίος ἐν τούτῳ πρὸς τὴν κακίαν τὸ διάφορον ἕξει, ὅτι οἱ μὲν ἐνταῦθα παρὰ τὸν βίον δι᾽ ἀρετῆς ἑαυτοὺς γεωργήσαντες εὐθὺς ἐν τελείῳ τῷ στάχυϊ φύονται, οἷς δὲ διὰ κακίας ἐξίτηλός τε καὶ ἀνεμόφθορος γέγονε παρὰ τὸν βίον τοῦτον ἡ ἐν τῷ ψυχικῷ σπέρματι δύναμις, καθάπερ τὰ λεγόμενα κερασβόλα οἱ τῶν τοιούτων ἐπιστήμονες λέγουσι γίνεσθαι· οὕτω καὶ οὗτοι, κἂν φυῶσι διὰ τῆς ἀναστάσεως, πολλῆς τῆς παρὰ τοῦ γεωργοῦντος θεραπείας προσδέονται πρὸς τὸ μόλις ποτὲ τοῖς καθήκουσι χρόνοις ἀναδραμεῖν ἐπὶ τὸ εἶδος τοῦ στάχυος καὶ γενέσθαι ἐκεῖνο, ὅπερ ἦμεν πρὸ τῆς ἐπὶ τὴν γῆν καταπτώσεως. ἡ δὲ θεραπεία τοῦ ἐπιστατοῦντος τῶν γενημάτων ἡ τῶν ζιζανίων τε καὶ τῶν ἀκανθῶν ἐστι συλλογὴ τῶν συναναφυέντων τῷ σπέρματι πάσης τῆς ὑποτρεφούσης τὴν ῥίζαν δυνάμεως πρὸς τὸ νόθον μεταρρυείσης, δι᾽ ὧν ἄτροφόν τε καὶ ἀτελεσφόρητον τὸ γνήσιον

9 κερασβόλα: Plat. Leg. 853d2; Plut. Quaest. conv. VII 2; Greg. Naz. Carm. 1,2,2 vv. 610–618 (PG 37) 626A–627A 14–15 cf. Matth. 13,30

AC LΛ ROΣE S 1 καθ᾽ ἕκαστον: κατέτος O 2 ἐν τῇ ἀναστάσει post 3 κάλλος coll Λ ἀρχέγονον: ἀρχαῖον ACS 3 ἀναφυόμενον O αἱ om ROv ἄπυροι R ἀνάπειροι v 4 γινόμενοι Σ ἐν τούτῳ: τοῦτο R τούτου O 5 ἔχει v παρὰ: περὶ O 7 φύονται: φαίνονται v κακίαν RO τε: τις ACR²Σ post ἀνεμόφθορος add ὁ κόκκος ACLΛR (sscr m alt) ΣSv 8 παρὰ: περὶ O τούτων A τούτων καὶ S (ut vid) post δύναμις add ἀσθενὴς S 9 κερασβόλα: corr in κεραυνοβόλα Σ κερα … βόλα S (tres litt legi non potest; in apographo Vat. gr. 1433 κεραυνοβόλα) κεράσβολα v οἱ: ἃ οἱ RΣ ἃ AC ωσοι L 10 γενέσθαι CL οὕτω καὶ οὗτοι LΛROv: οὕτω ΣES (ut vid) οὗτοι AC (Vat. gr. 1433) φύωσι CLΛEv 10–11 ἀναστάσεως πολλῆς τῆς om A 10–12 πολλῆς … χρόνοις: πολλὴν ἀποτομίαν παρὰ τῷ κριτῇ ἕξουσιν, ἅτε δὴ οὐκ ἰσχύοντες v 11 παρὰ: περὶ O μόγις CLΛ 13 ὅπερ ἦμεν: ὃ ποιεῖ μὲν A 14 γεννημάτων Rv τε om S 15 ἀναφυέντων Σ (sed corr) E σπέρμα A 16 τὸ: τὸν v 17 μεταρρυήσης O

ἔμεινε σπέρμα τῇ παρὰ φύσιν βλάστῃ συμπεπνιγμένον. ἐπειδὰν οὖν πᾶν ὅσον νόθον τε καὶ ἀλλότριον ἐκτιλῇ τοῦ τροφίμου καὶ εἰς ἀφανισμὸν ἔλθῃ τοῦ πυρὸς τὸ παρὰ φύσιν ἐκδαπανήσαντος, τότε καὶ τούτοις εὐτροφήσει ἡ φύσις καὶ εἰς καρπὸν ἁδρυνθήσεται διὰ τῆς τοιαύτης ἐπιμελείας μακραῖς ποτε περιόδοις τὸ κοινὸν εἶδος τὸ ἐξ ἀρχῆς ἡμῖν θεόθεν ἐπιβληθὲν ἀπολαβοῦσα. μακάριοι
160 M δέ, οἷς εὐθὺς τὸ τέλειον |κάλλος τῶν [ἀ]σταχύων συνανατελεῖ φυομένοις διὰ τῆς ἀναστάσεως. ταῦτα δέ φαμεν οὐχ ὡς σωματικῆς τινος διαφορᾶς ἐν τοῖς κατ᾽ ἀρετὴν ἢ κακίαν βεβιωκόσιν ἐν τῇ ἀναστάσει φανησομένης ὡς τὸν μὲν ἀτελῆ κατὰ τὸ σῶμα νομίζειν, τὸν δὲ τέλειον οἴεσθαι, ἀλλ᾽ ὥσπερ παρὰ τὸν βίον ὁ δεσμώτης τε καὶ ὁ ἄνετος ἔχουσι μὲν ἀμφότεροι παραπλησίως τῷ σώματι, πολλὴ δὲ μεταξὺ ἀμφοτέρων ἡ καθ᾽ ἡδονήν τε καὶ λύπην διαφορά, οὕτως οἶμαι χρῆναι τῶν ἀγαθῶν τε καὶ κακῶν ἐν τῷ μετὰ ταῦτα χρόνῳ λογίζεσθαι τὸ διάφορον· ἡ γὰρ τελείωσις τῶν ἐκ τῆς σπορᾶς ἀναφυομένων σωμάτων ἐν ἀφθαρσίᾳ τε καὶ δόξῃ καὶ τιμῇ καὶ δυνάμει παρὰ τοῦ ἀποστόλου γίνεσθαι λέγεται, ἡ δὲ τῶν τοιούτων ἐλάττωσις οὐ σωματικήν τινα τοῦ φυέντος διασημαίνει κολόβωσιν,

1–6 poena purificans: cf. Lilla, p. 107 5 μακραῖς ποτε περιόδοις: imit. Plat. Phaed. 107e4; cf. supra p. 51,12 15–17 cf. I Cor. 15,42–43; Rom. 2,7

AC LΛ ROΣE S 1 παρά: περὶ O βλαστῇ v συμπεπηγμένον O συμπεπλεγμένον v 2 πᾶς A ἐκτιλῇ Sv: ἐκτακῇ Λ ἐκταλῇ (-εῖ O) cett 3 add in mg τὸ (τῷ v) αἰωνίῳ πυρὶ παραδοθὲν post ἔλθῃ in textum inserenda post ἐκδαπανήσαντος (hic in textu v) L^2 4 ἀνδρυνθήσεται R 5 μακραῖς ποτε περιόδιος in ras L 7 post δέ add εἰσιν v (οἷ)σι (!) εὐθὺς in ras L σταχύων Langerbeck συνανατελεῖ S (in corr) v: συνανατέλει O συνανατέλλει cett 8 add τοῖς ante φυομένοις Ov 9 διαφορὰν Λ^1 ἐν om Λ ἤ: καὶ Λ 11 τὸν pr: τῶν S add τὸ ante τέλειον LΣEv post τέλειον add ἔχειν LOΣESv παρά: περὶ O δεσπότης Λ 12 ὁ ROS: om cett v ἄναιτος L ἀναίτιος O 13 ἀμφοτέρων μεταξὺ coll O τε: γε AR 14 μετὰ ταῦτα: μεταύτα Σ μεταξὺ ταῦτα v 15 πορᾶς C φθορᾶς L (in mg) ΣEv νοερᾶς O 17 παρά: περὶ O γενέσθαι LΛEv 18 κολώβωσιν O

ἀλλ' ἑκάστου τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων στέρησίν τε καὶ ἀλλοτρίωσιν. ἐπεὶ οὖν ἕν τι χρὴ πάντως περὶ ἡμᾶς εἶναι τῶν κατὰ ἀντίθεσιν νοουμένων ἢ ἀγαθὸν ἢ κακόν, δῆλον ὅτι τὸ ἐν τῷ ἀγαθῷ τινα λέγειν μὴ εἶναι ἀπόδειξις γίνεται τοῦ ἐν κακῷ πάντως εἶναι· ἀλλὰ μὴν περὶ τὴν κακίαν οὐ τιμή, οὐ δόξα, οὐκ ἀφθαρσία, οὐ δύναμις ἀνάγκη πᾶσα, περὶ ὃν ἂν μὴ ᾖ ταῦτα, τούτοις τὰ ἐξ ἀντιθέτου νοούμενα παρεῖναι μὴ ἀμφιβάλλειν, ἀσθένειαν, ἀτιμίαν, φθορὰν καὶ ὅσα τοῦ τοιούτου γένους ἐστίν, ἅπερ ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις, ὅτι δυσαπάλλακτα γίνεται τῆς ψυχῆς τὰ ἐκ κακίας πάθη δι' ὅλης αὐτῆς ἀνακραθέντα καὶ συμφυέντα καὶ ἓν πρὸς ἐκείνην γενόμενα. τῶν οὖν τοιούτων ταῖς διὰ τοῦ πυρὸς ἰατρείαις ἐκκαθαρθέντων τε καὶ ἀφαγνισθέντων ἕκαστον τῶν πρὸς τὸ κρεῖττον νοουμένων ἀντεισελεύσεται, ἡ ἀφθαρσία, ἡ ζωή, ἡ τιμή, ἡ χάρις, ἡ δόξα, ἡ δύναμις, καὶ εἴ τι ἄλλο τοιοῦτον αὐτῷ τε τῷ θεῷ ἐπιθεωρεῖσθαι εἰκάζομεν καὶ τῇ εἰκόνι αὐτοῦ, ἥτις ἐστὶν ἡ ἀνθρωπίνη φύσις.

2–5 cf. Greg. Nyss. Mort. (GNO IX) p. 34,8–9; Aristot. Metaph. I 4, (1055b) 8–9 cf. supra p. 71,11–73,16

AC LΛ ROΣE S 1 τῶν: τούτων C erasit duo verba Λ vel Λ^2 στέρησιν: inter ρ et η spatium unius litt, fort ras Σ 3 κατ' ARSv 4 add τῷ ante κακῷ Rv 5 εἶναι om v κακίαν om E 6 ὃν: ὂν O ὧν CΣS ἂν om LΛROEv ᾖ: ἦν v 6–7 τὰ τούτοις coll LΛOΣEv 8 ὅσα: οἷα O τοῦ om Lv ἅπερ: ἃ v add ἂν ante ἐν C 9 ὅτι: ὅσα v δυσαπαλακτα O τῇ ψυχῇ ALRΣSv 10 καὶ συμφυέντα om Λ ἐμφυέντα E 11 γινόμενα CO τοιούτων οὖν coll v 11–12 ταῖς ... ἐκκαθαρθέντων in ras L 11 τοῦ ante διὰ coll C om LΛv 12 τε om ΛΣE ἀφανισθέντων CLv ἁγνεισθέντων O τῶν: τὸ O 13 ἀντιελεύσεται O ἀντεπελεύσεται CLΛv ἡ τιμὴ ante ἡ ζωὴ coll O 14 ἡ δύναμις ante 13 ἡ τιμή coll ΛΣES τοιοῦτο ΣE αὐτῷ: ἐν Lv 15–16 καὶ ... φύσις in ras L 15 ἥτις: εἴ τις R

APPENDIX I

ARGUMENTA

B	Parisinus Coislianus gr. 253 membr. saec. IX vel X
G	Leidensis Gronovianus 12 chart. saec. XVI
S	Vaticanus gr. 1907 chart. saec. XII
Λ	Londiniensis BM Old Royal 16 D.I membr. saec. XII
C	Cantabrigensis (Mass.) Collegii Harvard MS Typ 46 membr. saec. X
W	Vindobonensis theol. gr. 42 chart. saec. XII

ΚΕΦΑΛΑΙΑ

α΄. Ἔνστασις πρὸς τὸ μὴ δεῖν ἐπὶ τοῖς τετελευτηκόσι ὑπεραλγεῖν.

β΄. Ὅτι οὐ γραφικῶν μόνον ἀλλὰ καὶ λογικῶν πρὸς πληροφορίαν ἀποδείξεων δεῖ περὶ ἀθανασίας ψυχῆς.

γ΄. Ὅτι εἰ μὴ ἀθάνατος ἡ ψυχή, ἀρετῆς κτῆσις ἀνόνητος.

δ΄. Ὅτι διαλυομένου τοῦ σώματος ἡ ψυχὴ οὔτε ἐν τοῖς στοιχείοις οὔτε ἀλλαχοῦ χώραν ἕξει ζωῆς, ὥστε οὐ ἔσται.

α΄	p. 1,10 BΛ	2,6 S	2,9 W
β΄	5,8 BSΛ	5,12 W	
γ΄	6,7 BSΛ	6,9 W	
δ΄	7,3 B	7,8 SΛ	om W

BGSΛ 1–2 argumentum sine numero habet codex C 3–4 argumentum sine numero habet codex C 3 μόνων B (G incertum) Λ (sed corr)

ε΄. Ὅτι εἰ διαλυθέντος τοῦ σώματος οὐχ οἵα τε ἔσται ἐν τοῖς στοιχείοις διάγειν ὡς ἑτερογενὴς ἡ ψυχὴ οὐδὲ ἐν τῷ σώματι ζήσεται· ἐκ στοιχείων γὰρ τὸ σῶμα.

ϛ΄. Ὅτι εἰ τὴν ψυχὴν ἀδύνατον εἶναι θήσονται μετὰ τὴν τοῦ σώματος ἀπαλλαγὴν ζῆν διὰ τὴν πρὸς τὰ στοιχεῖα διαφοράν, οὐδὲ τὰς ἀσωμάτους δυνάμεις οὐδὲ τὸ θεῖον δέξονται.

ζ΄. Ἔνστασις πρὸς αὐτὸ τὸ θεῖον.

η΄. Λύσις τῆς τῶν αὐτοματιστῶν δόξης, ἐκ τῆς τῶν φαινομένων τάξεως ταξίαρχον γνωρίζουσα.

θ΄. Ὅτι οὐχὶ εἰ θεὸς πάντως καὶ ψυχή.

ι΄. Εἰ μικρὸς κόσμος ὁ ἄνθρωπος, ἐκ δὲ τῆς τοῦ κόσμου τάξεως ὁ θεὸς νοεῖται, καὶ ἐκ τῆς τοῦ σώματος ἡ ψυχὴ νοηθήσεται.

ια΄. Ἐρώτησις περὶ τοῦ ποία ἂν γένοιτο ἐκ τῶν σωματικῶν ἐνεργειῶν τῆς ψυχῆς διάγνωσις.

ιβ΄. Ὅρος ψυχῆς καὶ τῶν λογικῶν τῆς ψυχῆς δυνάμεων ἀποδείξεις πολλαὶ καὶ διάφοροι.

ιγ΄. Φυσικὰ θεωρήματα ἐκ τῶν μετεώρων.

ιδ΄. Ἔνστασις περὶ τῆς νοητῆς ὑπάρξεως τῆς ψυχῆς ἐκ τῆς μηχανικῆς εἰσαγομένη.

ε΄	8,12	B	10,10 S	10,5 Λ	10,7 W
ϛ΄	10,10	B	10,17 SW	10,11 Λ	
ζ΄	11,4	BSW	10,17 Λ		
η΄	12,1	BS	11,8 Λ	11,12 W	
θ΄	13,6	BSΛW			
ι΄	13,10	BSΛW			
ια΄	14,7	BSΛW			
ιβ΄	15,4	B	15,1 S	15,6 Λ	15,14 W
ιγ΄	16,13	BSΛW			
ιδ΄	19,10	BSΛW			

BGSΛ 1 εἰ om G ἐστιν G ἐν om Λ 4–6 argumentum sine numero habet codex C 6 add ἄλλας post τὰς SC δείξονται Λ ἕξονται G 7 θεῖον: εἶναι θεόν Λ 8–9 argumentum sine numero habet codex C 9 ταξιάρχην SC γνωρίζουσα: ἀποδεικνύουσα SΛC 12 νοεῖται om BGΛ 14 τῆς ψυχῆς om B 19 εἰσαγομένη om Λ

ιε′. Λύσις τῆς ἀντιθέσεως ἐξ αὐτῆς τῆς κατὰ τὴν μηχανικὴν ἀντιθέσεως.

ις′. Ὅτι τὸ μηδὲν εἶναι, ὧν ἡ ὕλη ἐστί, τοῦτό ἐστιν οὐσία ψυχῆς.

ιζ′. Ὅτι οὐκ ἀνάγκη πάσῃ οὐσίᾳ πάντως τι τῶν τῇ ὕλῃ παρεπομένων ἐπισυμβαίνειν· οὐδὲ γὰρ τῇ τοῦ θεοῦ.

ιη′. Ὅτι οὐ ταὐτὸν μὲν ἡ νοερὰ τοῦ ἀνθρώπου ψυχὴ πρὸς τὸν θεόν, ὡς δὲ εἰκὼν τῆς θείας φύσεως ἐν διαφόρῳ τῇ οὐσίᾳ σῴζει πολλὴν πρὸς τὸ ἀρχέτυπον ὁμοιότητα.

ιθ′. Ὅτι ἁπλῆ μὲν ἡ ψυχή, σύνθετον δὲ τὸ σῶμα, καὶ οὐκ ἀνάγκη τοῦ συνθέτου λυομένου καὶ τὸ ἁπλοῦν συνδιαλύεσθαι.

κ′. Διαπόρησις πῶς ἂν ἡ ψυχὴ μετὰ θάνατον ἢ πρὸς τὰ διάφορα μερισθήσεται στοιχεῖα ἢ ἑνὶ τῶν ἄλλων ἀποσχισθεῖσα προσφυήσεται.

κα′. Δόγμα ξένον περὶ ψυχῆς ὅτι οὐδὲ μετὰ θάνατον τῶν τοῦ σώματος στοιχείων ᾧ συνῆπτο χωρίζεται.

κβ′. Ἀντίληψις τοῦ τῆς ψυχῆς ὅρου μηδεμίαν τοῦ θυμοειδοῦς καὶ ἐπιθυμητικοῦ σημασίαν ἔχοντος, ἃ πάντως ἀσώματα ὄντα ἢ καὶ αὐτὰ ἐν ἰδίᾳ ὑποστάσει ψυχαὶ λογισθήσονται ἢ οὐδὲ τῇ νοερᾷ εἶναι συγχωρήσει ψυχῇ.

κγ′. Τὸ Πλατωνικὸν ἅρμα περὶ ψυχῆς καὶ ἡ Ἀριστοτέλους περὶ τοῦ θνητὴν τὴν ψυχὴν δόξα.

ιε′	20,6	(B)	20,14 SΛW		
ις′	23,17	BS	24,3 ΛW		
ιζ′	24,4	BS	24,14 Λ	om W	
ιη′	24,17	B	26,6 S	26,10 ΛW	
ιθ′	26,6	BΛ	28,6 S	28,17 W	
κ′	28,6	B	28,22 SΛ	W sine signo	
κα′	30,1	BSΛ		W sine signo	
κβ′	31,16	BSΛW			
κγ′	32,18	B	33,14 SΛ	om W	

BGSΛ 7 τῆς οὐσίας G σῴζει: ἕξει G 9 συνθέτου: σώματος Λ 11 ἐπαπόρησις Λ ἢ om SΛ sscr G τὰ om Λ 12 ἀποσχεθεῖσα BG 14 add τῆς ante ψυχῆς G 15 ᾧ B: ὡς G ὧν Λ οἷς S 16 ἀνάληψις Λ μηδεμίας G 17 add τε ante καὶ pr SΛ 20 ἡ om Λ

κδ΄. Ὅτι ὁ θυμὸς καὶ ἡ ἐπιθυμία οὐχὶ τῆς οὐσίας ἐστὶ τῆς ψυχῆς· ἦ γὰρ ἂν καὶ τῇ θείᾳ ταῦτα ἐνωρᾶτο φύσει ἧς εἰκὼν ἡ ψυχή.

κε΄. Ὅτι εἰ τῆς οὐσίας ἦν τῆς ψυχῆς θυμός τε καὶ ἐπιθυμία, οὐκ ἄν τις αὐτῶν ἐγκρατὴς ἐγένετο· ἐκράτησαν δέ τινες, οὐκ ἄρα οὐσία ταῦτα ψυχῆς ἀλλὰ πάθη.

κς΄. Ὅροι θυμοῦ διάφοροι καὶ ἐπιθυμίας, καὶ τῶν ἄλλων δὲ τῶν ψυχικῶν παθῶν.

κζ΄. Ἔνστασις πῶς ἂν τὸ θυμοειδὲς καὶ τὸ ἐπιθυμητικὸν πάθη κληθείη, ἃ πολλάκις πρὸς ἀρετῆς λόγον τῇ ψυχῇ συντελεῖ.

κη΄. Διαφορὰ ζωτικῆς δυνάμεως, ὅπως τοῖς οὖσιν εἰσδύεται.

κθ΄. Διαίρεσις τῶν ὄντων γενῶν εἰς εἴδη κατὰ τὰς εἰδοποιοὺς διαφοράς.

λ΄. Εἴδη ψυχῆς καθ' ἣν ζῆν τὰ σώματα λέγεται τρία τὸ φυτικὸν τὸ αἰσθητικὸν τὸ λογικόν.

λα΄. Ὅτι ἐκ τοῦ αἰσθητικοῦ τῆς ψυχῆς εἴδους τὸ θυμοειδὲς καὶ ἐπιθυμητικὸν ἐγγίνεται τῇ ἀνθρωπίνῃ ψυχῇ.

λβ΄. Μαρτυρίαι γραφικαὶ περὶ τοῦ ἔξωθεν εἶναι τῆς οὐσίας τῆς νοερᾶς ψυχῆς τὸ θυμοειδὲς καὶ ἐπιθυμητικόν, δύναμιν ἔχοντα πρὸς ἀρετήν τε καὶ κακίαν ὑπηρετεῖσθαι τῷ λογισμῷ.

κδ΄	35,2	BW	35,8 SΛ	
κε΄	36,4	BS	36,7 Λ	35,19 W
κς΄	37,6	BΛ	37,2 SW	
κζ΄	38,15	BSΛW		
κη΄	40,11	BSΛ	40,8 W	
κθ΄	40,15	BSΛ	41,1 W	
λ΄	41,1	BS	40,18 Λ	41,6 W
λα΄	41,10	B	41,11 S	41,22 ΛW
λβ΄	43,17	BS	44,7 ΛW	

BGSΛ 6 δὲ om SΛ τῶν om G 7 παθῶν om Λ 8 ἐναντίωσις Λ τὸ alt Λ: om cett 10 οὖσιν: ζώοις Λ 11 add ἀπὸ τῶν ante γενῶν Λ 13 λέγονται Λ τρία om Λ φυσικὸν S 15 add τε ante καὶ Λ post καὶ add τὸ S (sscr) 16 ψυχῇ: φύσει Λ 17 ἔξω Λ 19 ὑπηρετεῖσθαι τῷ λογισμῷ ante 18 πρὸς coll S λόγω BG

λγ΄. Ὅτι Ἅιδης ἐστὶν ἡ ἐκ τοῦ ὁρωμένου πρὸς τὸ ἀειδὲς τῆς ψυχῆς μετάστασις.

λδ΄. Περὶ τοῦ σφαῖραν εἶναι τὸν οὐρανόν, τὰ δὲ ἐντὸς τῆς σφαίρας πανταχόθεν εἶναι ἐν κύκλῳ τῇ γῇ περικείμενα.

λε΄. Ὅτι οὐκ ἔστιν οἰκεία τοῖς ἀσωμάτοις ἡ ἐπὶ τόπου κατάστασις.

λς΄. Ὅτι ἐπουρανίους μὲν τὰς ἀγγελικὰς δυνάμεις, ἐπιγείους δὲ τὰς ἀνθρωπίνας ψυχὰς τὰς ἐν σώμασιν, καταχθονίας δὲ τὰς λυθείσας σωμάτων ὁ ἀπόστολος καλεῖ· λέγειν δὲ εἰκὸς αὐτὸν καταχθονίας καὶ τὰς τῶν δαιμόνων οὐσίας.

λζ΄. Δόξα περὶ τῆς κοινῆς εἰς ταὐτὸν τέλος τῶν λογικῶν ἀποκαταστάσεως, οὐδὲ αὐτὴν ἔξω τιθεῖσα τὴν τῶν δαιμόνων οὐσίαν.

λη΄. Διαπόρησις πῶς ἂν ἡ ψυχὴ μετὰ τὴν διάλυσιν τοῦ σώματος, ἑκάστου στοιχείου πρὸς τὸ οἰκεῖον ἀνακραθέντος, ἐπιγινώσκῃ τὰ ἴδια.

λθ΄. Ὅτι οὐκ ἀδύνατον τὴν ψυχὴν ἔχειν τῶν στοιχείων, οἷς πρότερον συνῆν, ἐπιστήμην καὶ μετὰ τὴν διάλυσιν, καὶ τούτων διὰ εἰκόνων πίστωσις καὶ τῷ τῆς ἀναστάσεως συμμαχοῦσα λόγῳ.

μ΄. Ὅτι οὐ κατὰ τὸ πρόχειρον δεῖ νοεῖν τὴν εὐαγγελικὴν περὶ Λαζάρου καὶ τοῦ πλουσίου περικοπὴν ἀλλ᾽ εἰς θεωρίαν ἀνάγειν.

μα΄. Ὅτι μονοειδὴς ἦν πρὸ τῆς παραβάσεως τῷ Ἀδὰμ ὁ βίος, κακοῦ παντὸς ἀνεπίδεκτος.

λγ΄	47,1	BSΛ	47,11 W		
λδ΄	48,1	BΛ	48,5 SW		
λε΄	48,5	B	50,10 S	50,1 Λ	om W
λς΄	50,1	B	51,1 S	50,13 Λ	49,17 W
λζ΄	52,3	BS	50,19 Λ	51,5 W	
λη΄	52,20	BS	52,3 Λ	W sine signo	
λθ΄	54,5	B	54,3 S	53,4 Λ	52,20 W
μ΄		B non liquet	57,21 SΛ	58,5 W	
μα΄	59,16	BSΛW			

BGSΛ 1 add ὅρος ἅδου ante Ὅτι Λ πρὸς τὸ ἀειδὲς om Λ 5 οἰκεια corr in οἰκία Λ 5–6 κατάσχεσις Λ 8 σώματι Λ 9 καλεῖ ὁ ἀπόστολος coll S 14 ἐπιγινώσκει BGΛ 16 ἔχειν τὴν ψυχὴν coll Λ 17 τὴν om SΛ 18 καὶ om S 20 τοῦ πλουσίου καὶ τοῦ λαζάρου Λ 22 add καὶ ante κακοῦ S

μβʹ. Ὅτι ἑκὼν ὁ ἄνθρωπος ὁ πρῶτος τὴν ἐξ ἀγαθοῦ καὶ κακοῦ προείλετο συγκεκραμένην ζωήν.

μγʹ. Ὅτι τὴν τῶν ἀγαθῶν ἀπόλαυσιν ὡς ἂν ἐθέλοιεν οἱ ἄνθρωποι κομίζονται ἢ τὰ ἡδέα ἐνταῦθα ἢ ἐν τῷ μέλλοντι τὰ ἀληθῶς ἀγαθὰ καρπούμενοι· οὐ γάρ ἐστιν ἅμα ἀμφότερα.

μδʹ. Τί ἐστι τὸ χάσμα ὃ ἐν τῷ εὐαγγελίῳ τοὺς δικαίους ἀπὸ τῶν ἁμαρτωλῶν διατειχίζειν λέγεται, καὶ τίς ὁ κόλπος τοῦ Ἀβραάμ;

μεʹ. Τίς ἡ φλὸξ τῶν ἁμαρτωλῶν;

μςʹ. Ὅτι καὶ μετὰ θάνατον οἱ φιλόσοφοι τὴν τῶν ἐν σαρκὶ φροντίδα καὶ δεσμὸν οὐκ ἀποδύονται.

μζʹ. Ὅτι περὶ τοὺς τάφους ὁρᾶται σκιοειδῆ τῶν κατοιχομένων φαντάσματα.

μηʹ. Ὅτι τῇ ψυχῇ τῇ ἐν θεωρίᾳ γενομένῃ τοῦ θεοῦ οὐδὲ τοῦ ἐπιθυμεῖν τι δεήσει· ἡ γὰρ ἐπιθυμία τῶν οὐ προσόντων ἐστίν.

μθʹ. Ὅτι ἀνύπαρκτος ἡ τῶν κακῶν φύσις.

νʹ. Ὅτι οὔτε ἐλπὶς οὔτε μνήμη οὔτε ἐπιθυμία περὶ τὴν ψυχὴν μετὰ τὴν τελείωσιν ἔσται οὔτε ἄλλο τι κίνημα πλὴν τῆς ἀγαπητικῆς διαθέσεως.

ναʹ. Ὅτι καὶ κατὰ τὸν ἀπόστολον μείζων πάντων ἡ ἀγάπη.

μβʹ	59,22	BSΛ	om W		
μγʹ	60,9	B	60,7(S)	60,4 Λ	60,14 W
μδʹ	60,24	BSΛW	61,4 Λ (μεʹ)	61,6 W sine signo	
μεʹ	61,16	BSΛ	61,17 W		
μςʹ	63,8	BSΛW			
μζʹ	64,14	BSΛW			
μηʹ	65,9	BS	66,3 Λ	66,9 W	
μθʹ	68,18	BSΛW			
νʹ	69,6	BSΛ	69,10 W		
ναʹ	70,3	BSΛ	om W		

BGSΛ 1 ὁ πρῶτος ἄνθρωπος S add τε ante καὶ Λ 5 ἅμα om S 7 discernit τίς (om καὶ) novum argumentum μεʹ Λ 9 τὴν τῶν ἐν: τῶν ἐν τῇ Λ 10 φροντίδων καὶ δεσμῶν Λ ἀπολύονται Λ 13 add τῇ post ἐν BG γενομένη BG τοῦ pr om BG θείου Λ 13–14 οὐδὲν ἐπιθυμητικοῦ SΛ

νβ΄. Ὅτι ὁ μὲν θεὸς πᾶσαν ἕλκει πρὸς ἑαυτὸν ψυχὴν ὡς τῆς οἰκείας φύσεως εἰκόνα, τῇ δὲ διὰ κακῆς ἀγωγῆς τοῖς ὑλικοῖς προσηλωθείσῃ ἀλγεινὴν τὴν ἕλξιν γίνεσθαι σύμβαινει διὰ τῆς ἀντισπάσεως.

νγ΄. Ὅτι οὐχὶ τιμωρίας ἕνεκα ἡ κόλασις ἀλλὰ καθάρσεως, καὶ μέτρον τῆς κολάσεως ἡ τῆς κακίας ἑκάστῳ κάθαρσις.

νδ΄. Περὶ τοῦ πάντῃ ποτὲ τὸ κακὸν εἰς τὸ μὴ εἶναι περιστήσεσθαι.

νε΄. Ὅτι πᾶσα ἡ λογικὴ φύσις ἔστιν ὅτε κατ᾽ ἀρετὴν διὰ τῆς ἀπαλλαγῆς τῆς κακίας τελειωθεῖσα ἐν τῷ θεῷ γενήσεται καὶ ὁ θεὸς γενήσεται τὰ πάντα ἐν πᾶσιν.

νϛ΄. Ὅτι ἐπ᾽ ὠφελείᾳ γίνονται τοῖς ἀνθρώποις αἱ συμφοραί, τῶν ἀπείρων ἡμῖν ἀγαθῶν προξενοῦσαι τὴν ἀπόλαυσιν.

νζ΄. Λόγος περὶ ἀναστάσεως.

νη΄. Λόγοι Πλατώνικοι καὶ Πυθαγόρειοι καὶ Παρμενίδιοι περὶ μετεμψυχώσεως.

νθ΄. Ὅτι οὐκ ἂν εἰκότως ἀπίθανος ἡ ἀνάστασις φαίνοιτο τοῖς ἐξ ἑτέρων σωμάτων δεχομένοις τὴν ψυχὴν μεταβαίνειν εἰς ἕτερα· πολὺ γὰρ εἰς τὸ οἰκεῖον ἀναλογώτερον.

ξ΄. Ἀνατροπὴ τῶν ποικίλων περὶ μετεμψυχώσεως δοξῶν μετὰ ἀποδείξεως.

νβ΄	71,11	BSΛW			
νγ΄	73,17	BS	74,3	ΛW	
νδ΄	75,3	BS	74,14	ΛW	
νε΄	76,10	BS	76,13	ΛW	
νϛ΄	77,18	BS	78,1	W	def Λ
νζ΄	80,1	BS	80,8	W	def Λ
νη΄	80,8	BS	80,12	W	def Λ
νθ΄	81,6	BS	81,9	W	def Λ
ξ΄	82,9	BS	om	W	def Λ

BGSΛ 2 οἰκείας: ἰδίας BG 9 ἡ om Λ 10 κακίας: κακίστης Λ 11 γενήσεται: γένηται S 14 λόγοι S 17 ἀπίθανος om S 19 πολλῷ ex corr S ἂν εὐλογώτερον S (an recte?)

ξα΄. Ὅτι τοῖς τὰς λογικὰς καὶ ἄχρι τῶν ἀναισθήτων κατάγουσι ψυχὰς πάντως καὶ μιαιφόνους εἶναι δόξει τοὺς γεωργοὺς καὶ πάντας ὅσοι μὴ φείδονται φυτῶν καὶ δένδρων καὶ βλαστημάτων, ἃ μηδὲν ἀνθρώπων διενήνοχεν.

ξβ΄. Εἰ διὰ κακίαν ἐκ τῆς κατ' οὐρανὸν πολιτείας αἱ ψυχαὶ πρὸς τὴν τῶν ἀναισθήτων καταπίπτουσι συμπλοκήν, ἐκ δὲ τῆς ἀναισθήτου ζωῆς δι' ἀρετῆς εἰς οὐρανὸν ἀνοικίζονται, πολὺ τῆς γῆς τὸν οὐρανὸν δεύτερον εἰς ἀρετῆς λόγον εἶναι συμβήσεται καὶ τοῦ ἄνω τὸν κάτω βίον.

ξγ΄. Ὅτι οὐ μόνον ὁ καταφέρων λόγος τὰς ἀνθρωπίνας ψυχὰς μέχρις ἀλόγων σωμάτων καὶ ἀναισθήτων ἄστατος ἀλλὰ καὶ ὁ εἰς ἕτερα ἀνθρώπινα σώματα μεταφέρων αὐτάς.

ξδ΄. Ὅτι τὴν κακίαν ἀρχὴν εἶναι καὶ αἰτίαν τῆς πάντων γενέσεως ὑποτίθενται οἱ τὰς ψυχὰς ἀρετῆς ὑποβάσει καθέλκοντες· εἰ δὲ ἀρχήν, καὶ ἀγαθὸν καὶ τῷ δημιουργῷ ἀναγκαῖον.

ξε΄. Εἰ χρόνῳ τακτῷ φυήσεται τὰ φυτὰ καὶ τὰ βλαστήματα ὀχείαν ὁρμήσει τὰ ζῷα. χρόνῳ τακτῷ καὶ τὴν κακίαν νοήσουσιν αἱ ψυχαί.

ξς΄. Ἔνστασις πρὸς τοὺς λέγοντας ἄνω προούσας τὰς ψυχὰς δι' ἀπροσεξίαν καὶ κακίαν γινομένας σώμασιν ἐμπλέκεσθαι· πῶς γὰρ συμβαίνει σύνδρομον γίνεσθαι τὴν τῶν ψυχῶν κακίαν τῇ τῶν γαμούντων ὁρμῇ;

ξζ΄. Ὅτι εἰ ἀγαθὸν ἡ κακία, ἀγαθῶν τῶν ὄντων ἡγεμονεύουσα, ἢ καὶ τὰ ὄντα ἐκ κακίας ἀρξάμενα; ἀλλ' ἀγαθὰ τὰ γενόμενα, ἐκ θεοῦ

ξα΄	83,12	BSW	def Λ
ξβ΄	85,10	BS	85,15 W (ultimum argumentum) def Λ
ξγ΄	87,1	BS	def Λ
ξδ΄	87,12	BS	def Λ
ξε΄	88,8	BS	def Λ
ξς΄	88,15	BS	def Λ
ξζ΄	89,11	BS	def Λ

BGSΛ 8–9 τοῦ ... βίον: τὸν ἄνω βίον τοῦ κάτω S 10 ὁ om G 15 ἀναγκαίαν S 16 τὰ alt om S 19 ἐνστάσεις S προούσας B: προσούσας G προϊούσας ex corr S 20 διὰ προσεξίαν G 23–24 ἢ καί: οὐ κακία S 24 γινόμενα S

γάρ· οὐκ ἄρα ἐκ κακίας αὐτοῖς ἡ ἀρχή.

ξη΄. Εἰ ἐκ κακίας τοῖς ἀθρώποις ἡ γένεσις, παρὰ φύσιν αὐτοῖς ἡ πρὸς ἀρετὴν ἔσται ῥοπή.

ξθ΄. Ὅτι αἱ μὲν ἀρεταὶ καὶ ἕξεις κατὰ φύσιν, αἱ δὲ στερήσεις παρὰ φύσιν καὶ τούτων δεύτεραι ἢ ἑκουσίως ἢ ἐκ πάθους γινόμεναι.

ο΄. Τὸν μὲν τρόπον τῆς δημιουργίας, καθ᾽ ὃν ὁ θεὸς τὰς ψυχὰς παρήγαγεν, ὡς εἰς εὕρεσιν ἀνθρώποις ⟨ἀκατάληπτον⟩ παρέρχεται, περὶ δὲ τοῦ πότε συνίστανται λέγει.

οα΄. Ὅτι οὔτε ἐκ τῆς αὐτοῦ φύσεως οὔτε ἐξ ἑτέρας προϋφεστώσης ἐποίησεν ὁ θεὸς τὰ πάντα ἀλλ᾽ ἐκ βουλήσεως μόνης.

οβ΄. Ὅτι οὐ μόνον ἡ τῶν νοητῶν οὐσίωσις κατάλληλος ὡς νοητὴ τῷ θεῷ ἀλλα καὶ ἡ τῶν σωμάτων, ἐπείπερ αἱ ποιότητες νοηταὶ ὧν ἡ συνδρομὴ τοῦ σώματος ἀποτελεῖ τὴν ὑπόστασιν.

ογ΄. Ὅτι ἀνάγκη μήτε προεῖναι τίθεσθαι τῶν σωμάτων τὰς ψυχάς, ὡς ἂν μὴ χώραν ἔχοι τὰ προεξεληλεγμένα δόγματα, μήτε δευτέρας εἶναι· αἱ γὰρ αὐξήσεις καὶ κινήσεις τοῖς ἀψύχοις ἀλλότριαι.

οδ΄. Ὅτι εὐθὺς ἐκ καταβολῆς ἔμψυχον τὸ τοῦ ἀνθρώπου σῶμα. τοῦτο ἐπίστησον, εἰ μὴ ἐναντιοῦται τῷ λόγῳ ἡ περὶ ἀμβλωθριδίων νομοθεσία πότε ψυχοῦται τὸ ἔμβρυον λέγουσα.

οε΄. Μὴ ζητήσῃς πῶς ἔμψυχον τὸ σῶμα· τὸν γὰρ περὶ τρόπου τῆς γενέσεως παρῃτήσατο λόγον.

ξη΄	90,5	BS		def Λ
ξθ΄	91,3	BS		def Λ
ο΄	91,14	B	91,15 S	def Λ
οα΄	92,16	BSΛ		
οβ΄	93,9	BS	93,14 Λ	
ογ΄	94,15	BΛ	94,16 S	
οδ΄	95,8	BSΛ		
οε΄	96,2	BSΛ		

BGSΛ 3 ἔστι S 7 ἀκατάληπτον conieci, καταληπτὸν codd 10 μόνον G 11 τῶν νοητῶν ἡ coll S 14–15 τὰς ψυχὰς τῶν σωμάτων coll S 15 προεξηλεγμένα B μηδὲ S 18 post σῶμα add ποιεῖ et omittit reliqua S 20 ψυχοῦνται G

οϛʹ. Ὅτι προωρισμένος ἐστὶν ἐν τῇ προγνωστικῇ τοῦ θεοῦ δυνάμει ὁ τῶν ψυχῶν ἀριθμός, οὗ πληρωθέντος στήσεται πάντως ἡ τῶν ἀνθρώπων γένεσις.

οζʹ. Τῶν ἐν τοῖς θείαις γραφαῖς περὶ ἀναστάσεως ἔκθεσις.

οηʹ. Ἀφομοίωσις τῶν λογικῶν οὐσιῶν πρὸς τὸν ναόν.

οθʹ. Πάλιν περὶ τῆς κοινῆς καὶ μηδεμίαν διαφορὰν ἐχούσης τῶν λογικῶν ἀποκαταστάσεως.

πʹ. Ἐπίστησον ὅτι ὁ Ἰεζεκιὴλ οὐ γενόμενον ἀλλ' ἐσόμενον ἶδεν.

παʹ. Περὶ μὲν τοῦ τὴν ἀνάστασιν ἔσεσθαι οὐ δεῖν αὐτῷ λογικῶν ἀποδείξεων ἐνόμισεν, ταῖς θείαις μαρτυρίαις ἀρκούμενος, περὶ δὲ τοῦ ποιοῦ τῶν ἀνισταμένων σωμάτων λέγεται.

πβʹ. Διάφοροι πρὸς ἀνάστασιν ἐνστάσεις.

πγʹ. Εἰ ἀνάστασίς ἐστι πρὸς τὸ ἀρχαῖον τῆς φύσεως ἀποκατάστασις, ἄρτιος δὲ καὶ ἀπαθὴς καὶ θειοτέρῳ τινὶ σώματι χρώμενος ἅτε καὶ ἀθανάτῳ ὁ Ἀδὰμ ἐδημιουργήθη, τοιούτους καὶ τοὺς ἀνισταμένους δεῖ προσδοκᾶν.

πδʹ. Ὅτι τὰ πάθη διὰ τῆς κακίας συνεισῆλθε τῷ ἀνθρωπίνῳ βίῳ.

οϛʹ	96,11	BS	96,17 Λ
οζʹ	97,16	BSΛ	
οηʹ	102,6	BSΛ	
οθʹ	102,12	BSΛ	
πʹ	103,9	BSΛ	
παʹ	105,5	BSΛ	
πβʹ	105,11	BS	om Λ
πγʹ	111,16	BS	om Λ
πδʹ	112,19	$BSΛ^2$	

BGSΛ 1 γνωστικῇ Λ 4 οηʹ. Ζήτησις ἀναγκαία περὶ ἀναστάσεως Λ 8 ὁ om Λ εἶδεν GS 9 οὐ δεῖν: οὐδὲν S (ex corr) Λ 10 ἐνόμισεν: ἐμέλησεν SΛ ἀρκουμένω SΛ (ex corr) 12–16 om Λ 14 ἀρτίως B 17 τῆς om S

πε΄. Ἀλληγορικὴ περὶ τῶν δερμάτων, ὧν μετὰ τὴν παράβασιν ἐφόρεσεν Ἀδάμ, ἐκδοχή. εἰ πρὸς τὸ ἀρχαῖόν ἐστιν ἀποκατάστασις, πῶς τὴν τροφὴν ἐκβάλλεις; ἐσθίειν γὰρ Ἀδὰμ καὶ πρὸ τῆς παραβάσεως ἀπὸ τῶν δένδρων ἐπετέτραπτο. ὅρα γοῦν μὴ ἀλληγορικῶς δεῖ τὰ δένδρα νοεῖν.

πς΄. Ἐπίστησον ὅτι ὅσον κατὰ τὴν εὐαγγελικὴν ῥῆσιν οὐ δίδωσιν τοῖς ἐμβρύοις ἀνάστασιν ἀλλὰ τοῖς προελθοῦσι γαστρός· γέννησιν γὰρ ταύτην καλεῖ τὸ εὐαγγέλιον.

πζ΄. Ὅτι καὶ οἱ ἀγαθοὶ καὶ οἱ κακοὶ καὶ οἱ μήτε ἀγαθοὶ μήτε κακοὶ ἀπολαύσουσι τῶν ἀγαθῶν, Ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν (I Cor. 2,9), τῶν κακῶν δηλαδὴ μετὰ τὴν διὰ κολάσεων κάθαρσιν ἐπὶ τὴν ἀπόλαυσιν ἐρχομένων.

πη΄. Ὅτι τὸ ἐν τῷ θεῷ γενέσθαι τοῦτό ἐστιν· ἡ τῶν ὑπὲρ λόγον καὶ νοῦν ἀγαθῶν ἀπόλαυσις, οὗπερ πάντως πάντες ἢ ταχέως ἢ βραδέως ἀπολαύσουσιν.

πθ΄. Ἀποστολοκὴ λύσις τῶν πρὸς ἀνάστασιν ἀντιθέσεων.

ϙ΄. Ἔνστασις εἰ σῶμά ἐστιν ἡ τῶν στοιχείων συνδρομή, θάνατος δὲ διάλυσις τῶν στοιχείων, τῶν δὲ διαλυθέντων ἀμήχανος αὖθις ἡ συνδρομή· ἀδύνατον ἄρα τὸ διαλυθὲν ἀναστῆσαι σῶμα.

πε΄	113,15	BS	113,23 Λ
πς΄	114,14	BSΛ	
πζ΄	115,19	(B)SΛ	
πη΄	116,2	(B)SΛ	
πθ΄	116,9	(B)SΛ	
ϙ΄	117,3	(B)SΛ	

BGSΛ 2 add ὁ ante Ἀδάμ Λ 2–5 εἰ ... νοεῖν cum numero πς΄ G om S 3 ἐκβάλλεις: ἐκλάβοις Λ 4 ἀπὸ om Λ ἐπετέτραπτο om G οὖν Λ 6 πς΄ ex corr G 7–8 γένησιν G γένεσιν Λ 9 πζ΄ corr ex πη΄ G μήτε alt corr in μηδὲ Λ 10 ἀπολαύουσιν BG Ἃ: ὧν Λ ἴδεν G 11 post ἤκουσεν add καὶ ἐπὶ τὴν καρδίαν ἀνθρώπου οὐκ ἀνέβη S δηλαδὴ: δηλονότι Λ 14 πάντως post πάντες coll B om Λ 15 ἀπολαύουσιν BG 17 ἡ om et συνδρομὴ ante τῶν coll BGS 18 ἀμήχανον BG 19 add δὲ ante ἄρα et corr in ἆρα Λ

ϙα′. Εἰ θάνατός ἐστιν ἡ τῶν συνεστηκότων διάλυσις, ἀδύνατος δὲ τῶν διαλυθέντων ἡ ἀναβίωσις, διαλύεται δὲ ὁ σπαρεὶς ὑπὸ γῆν σῖτος ἀποθανών, ἆρα ὁ σῖτος οὐκ ἀναστήσεται; ἀλλὰ μὴν καὶ ἀναβιοῖ καὶ συνίσταται, οὐκ ἄρα ἀδύνατος τῶν διαλυθέντων ἡ ἀνάστασις.

ϙβ′. Ἀπόδειξις ἐκ τῆς εἰκόνος τῆς κατὰ στάχυν τοῦ θειότερον ἀναστήσεσθαι τὸ σῶμα καὶ ἐνδοξότερον.

ϙγ′. Σῶμα ψυχικόν ἐστι τὸ μηδέποτε ἐν ταὐτῷ μένον ἀλλ' ἐν μεταβολῇ θεωρούμενον, οἷά ἐστι πάντα τὰ ἔμψυχα.

ϙδ′. Εἰ τὸ σπέρμα τοῦ στάχυος δεύτερον, τοῦτο δὲ ἀποθανὸν αὖθις πρὸς τὸ ἀρχαῖον ἀποκαθίσταται στάχυς γινόμενος, ἔρρωται δὲ ἡ εἰκών. καλῶς εἶπεν ὁ ὅρος ἀνάστασιν εἶναι τὴν εἰς τὸ σχῆμα τὸ πρότερον τοῦ Ἀδὰμ ἀποκατάστασιν.

ϙε′. Ὅτι οὐχ ἅμα πᾶσιν πρὸς τὸ ἀρχαῖον ἀποκατάστασις ἐν τῇ ἀναστάσει, ἀλλὰ τοῖς μὲν δικαίοις εὐθύς, τοῖς δὲ ἄλλοις μετὰ χρόνον τοσοῦτον, εἰς ὅσον ἀρκεῖ τὴν ἐγγενομένην κακίαν ἑκάστῳ δαπανῆσαι τὸ πῦρ.

ϙϛ′. Ὅτι οἱ κακοὶ πρὸς τοὺς ἀγαθοὺς μετὰ τὴν ἀνάστασιν οὐκ ἐν εἴδει καὶ σώματι τὴν διαφορὰν ἕξουσιν, ἀλλὰ τὸ τοὺς μὲν ἐν ἡδονῇ διὰ τὴν ἀρετὴν τοὺς δὲ ἐν λύπῃ διὰ τὴν κακίαν τὴν συμποιωμένην αὐτοῖς εἶναι.

ϙα′	117,7	(B)SΛ	
ϙβ′	118,13	(B)SΛ	
ϙγ′	119,14	(B)SΛ	
ϙδ′	119,18	(B)S	120,6 Λ
ϙε′	121,4	(B)SΛ	
ϙϛ′	122,8	(B)SΛ	

BGSΛ 3 τὴν ante γῆν add Λ 8 ταὐτῷ: αὐτῷ Λ 9 ἅπαντα S 10 δεύτερον om B 11 γενόμενος S 15 ἡ ante μετὰ add Λ 16 ὅσον: ὃν BG 19 ἀλλὰ τὸ τοὺς: ἀλλ' ἐν τῷ Λ 20 συμπεποιημένην Λ

APPENDIX II

MARGINALIA

B Parisinus Coislianus gr. 253 membr. saec. IX vel X (inde a 114,17 def)
G Leidensis Gronovianus 12 chart. saec. XVI
A Venetus Marcianus gr. 68 membr. saec. XII
P Lipsiensis gr. 13 chart. saec. XIV
C Cantabrigensis (Mass.) Collegii Harvard MS Typ 46 membr. saec. X

ante 1,4 ἐπειδή] προοίμιον ὡς ἐν διηγήματι παρὰ τοῦ συγγραφέως. BGA
ad 2,4 ῥύμῃ] ὁρμῇ. G
ad 2,9 Κἀγώ] ὡς ἐν ἐρωτήσει ἐντεῦθεν ἐπαπορεῖ ὁ συγγραφεύς. BG
ad 3,13 κνημῖδες] ὅπλα περσικά. BG
ad 3,13 κράνη] περικεφάλαια. BG
ad 3,15 τάφρων] ὀρυγμάτων. G
ad 4,2 Τί δέ] ἀπόκρισις. GA
ad 4,5–6 ἄναυδον] ἄφωνον. BGC
ad 4,10 προθῇς] προδῷς. BG
ante 7,11 Ἦ που] ἔνθεν ἄρχεται ὡς ἀπὸ τῶν ἐναντίων ὁ ἐπίκοπος πρὸς τὴν οἰκείαν ἀδελφὴν διαλέγεσθαι. BGA
ad 7,14 ἑκάστῳ] ὅτι εἰς τὰ ἐξ ὧν συνετέθη τὸ σῶμα χωρεῖ. BG
ad 7,19 εἰ] συλλογισμὸς περὶ ψυχῆς· ὅτι οὐκ ἔστιν ἀθάνατος κατασκευάζοντες. BG
ad 8,14 ἀκούω] κατὰ τῶν αὐτοματισμῶν. BG
ad 9,1 πομφόλυγος] ἡ πομφόλυγος οὕτω γίνεται· πνεύματι τὸ ὕδωρ περιτείνεται, οὗπερ ῥηγνυμένου διαφορεῖται τὸ πνεῦμα καὶ ἡ πομφόλυξ ἀφανίζεται. BGA
ad 9,4 ἐναπειλημμένον] τουτέστι ψυχήν. BGA

15 αὐτοβαπτίστων G 19 ἡ ψυχή GA

ad 10,7 εἰ γάρ] ἀντισυλλογίζεται τῶν ἐναντίων τὸν λόγον ἡ διδάσκαλος. BG

ad 12,1 τίς γάρ] σημείωσον πῶς διὰ τῶν ὁρωμένων πιστούμεθα ὅτι ἔστι τι θεῖον τῆς τῶν ὄντων ὑπερκείμενον φύσεως. BG

ad 12,17 πόλου] σχόλιον. πόλος καλεῖται τὸ οὐράνιον σῶμα ⟨κατὰ⟩ τὸ πολεῖσθαι ὅπερ ἐστὶ στρέφεθαι. τοῦτό φασιν ἐκ πλειόνων συγκεῖσθαι σφαιρῶν, ὧν τὴν μὲν ἐξωτέραν καὶ τὰς λοιπὰς περιέχουσαν τὴν ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς κινεῖσθαι κίνησιν τὰς δὲ λοιπὰς τὴν ἐναντίαν. BGAP

ad 12,18 ὑποδρομάς] ταῦτα πάντα διαφοραί εἰσιν κινήσεων καὶ σχέσεων προσάλληλα τῶν ἄστρων. BGA

ante 13,10 Ἡ δέ] ἐντεῦθεν τὰς περὶ ψυχῆς ἀποδείξεις γράφει, δι' ὧν δείκνυσιν αὐτὴν καθ' ἑαυτὴν ἐν ἰδιαζούσῃ φύσει τυγχάνειν καὶ εἶναί τι κατ' οὐσίαν τὴν ψυχὴν παρὰ τὸ σῶμα. BGA

ad 13,10 μικρός] ὅτι μικρὸς κόσμος ὁ ἄνθρωπος. BG

ad 14,4 κεκρυμμένου] τῆς ψυχῆς δηλονότι. BGA

ad 14,13 γινώσκειν] τουτέστιν κατὰ τὸ Γνῶθι σεαυτὸν ἐπίφθεγμα. BGA

ad 14,20 αἴσθησις] σημείωσον ὅτι ἕτερόν τί ἐστιν ἡ αἰσθητικὴ δύναμις καὶ ἄλλο ἡ νοερά. BG

ad 15,6 ψυχή] τί ἐστι ψυχή; BGC

ad 15,9 καὶ ἅμα] ὁ συγγραφεύς. GA

ad 15,10 τὸν ἰατρόν] σημείωσον πῶς τὸν ἰατρὸν ἐπὶ μαρτυρίαν καλεῖ. BGA

ad 15,11 φησίν] ἡ διδάσκαλος. BGA

ad 15,16 τοῦ φλογμοῦ] τῶν θερμῶν. BG

ad 15,18 τηκεδόνα] σύντηξιν. BGA

ad 15,18–19 ἐπισημαίνει] σημεῖα διηγεῖται τῆς ἐπὶ θάνατον νόσου. BGA

ad 16,14 τις] οἶμαι τὸν Μένανδρον εἶναι. BGA

ad 16,15 ἀκούοντα] νοῦς ὁρῇ νοῦς ἀκούει. BA

ad 16,16 ἥλιον] περὶ ἡλίου. BGA

3 σημείωσον om G   5 σχόλιον B: om GAP   κατά: παρὰ codd, conieci   6 φησιν P   7 μὲν om B   8 add καὶ ante τὴν pr P   10–11 καὶ ... ἄστρων om B   16 τῆς: τῶν B   22 ὅπως G (om σημείωσον)   28 τὸν μένανδρον ὡς ἔοικε λέγει P   29 νοῦς θρήνους ἀκούει A σημείωσον ὅτι νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει P

ad 16,17 διδασκάλου] παρὰ τοῦ μεγάλου Βασιλείου τοῦ αὐτῶν ἀδελφοῦ. BGA

ad 17,1 ὑπερβάλλειν] ὅτι μεῖζον τῆς γῆς ὁ ἥλιος. BG

ad 17,4 σελήνης] σημείωσον ὅτι ἐπείσακτον ἐκ τοῦ ἡλίου τὸ φῶς ἡ σελήνη ἔχει καὶ ὅτι προσγείως περιπολεῖ. BGAP

ad 17,7 περιπολεῖν] ἐν γὰρ τῇ ἐνδοτέρᾳ σφαίρᾳ, ἥτις ἐστὶν προσγειοτέρα, φασὶν εἶναι καὶ κινεῖσθαι τὴν σελήνην. BGAP

ad 17,14 ἐλάττονι] ὅτι ἐλάττονα τόπον τοῦ ἡλιακοῦ τοσοῦτον ἡ σελήνη περιπολεῖ, ὥστε ταύτην μὲν κατὰ μῆνα τὸν ἴδιον ἐκτελεῖν τόπον τὸν ἥλιον δὲ δι᾽ ἐνιαυτοῦ. BGA

ad 18,4 περιόντι] τουτέστι τῷ ἡλίῳ. BG

ad 18,6 θέσις] γέγραπται ὑφ᾽ ἡμῶν τινα ἐν τῇ ἀρχῇ τοῦ βιβλίου περὶ τῶν προκειμένων. BG

ad 18,12 ὑποβᾶσα] τὸ τηνικαῦτα καὶ τὰς ἡλιακὰς ἐκλείψεις γίνεσθαι τῶν στοιχειακῶν κύκλων εἰς ταὐτὸν συνδραμόντων. BG

ad 18,13 δέξηται] ὡς ἐν ταῖς συνόδοις γίνεται ὅτε ἀφώτιστος λέγεται εἶναι ἡ σελήνη. BG

ad 18,19 πεφωτισμένου] τῆς ἀκτῖνος δηλονότι. BG

ad 19,5 γεωμετρικάς] ὅτι καὶ διὰ τῆς γεωμετρίας Τὰ ὑπὲρ αἴσθησιν καταλαμβάνομεν. BGP

ad 19,5 ἐφόδους] ἐπιχειρήσεις. BG

ad 19,6 χειραγογούσας] διδάσκουσι γὰρ ἡμᾶς ἀσώματα φαντάζεσθαι καὶ νοεῖν διὰ τοῦ τὰς ἐν ταῖς ὕλαις ποσότητας καὶ σχήματα αὐτὰ καθ᾽ ἑαυτὰ θεωρεῖν χωρὶς τῆς ὑποκειμέμης ὕλης, ὅθεν καὶ μαθήματα λέγονται. BGP

ad 19,10 Τί δέ] ὁ ἐπίσκοπος. B

ad 19,15 λόγον] τοῦ κοινοῦ τῆς ὑλώδους φύσεως δηλονότι καὶ τὴν τῶν εἰδῶν διαφοράν. BGP

1–2 αὐτῶν ἀδελφοῦ: αὐταδελφοῦ A 4 add περὶ σελήνης post σημείωσον GA 4–5 ἡ σελήνη om G 6–7 ἥτις … φασὶν: ἢ τῇ κατωτέρα καὶ προσγειοτέρα λέγουσιν P 7 post σελήνην add τοίνυν καὶ ὃν δρόμον ὁ ἥλιος διὰ τῶν ιβ´ μηνῶν διανύει … (?) τοῦ ὅλου χρόνου, αὕτη δι᾽ ἑνὸς διανύει μηνός P 8–10 ὅτι ἡ σελήνη κατὰ μῆνα τὸν ἴδιον ἐκτελεῖ τόπον, ὁ δὲ ἥλιος κατ᾽ ἐνιαυτὸν διὰ τὴν προρρηθεῖσαν αἰτίαν P 22–23 διδάσκουσι … νοεῖν om P 25 post λέγονται add μαθηταὶ οἱ ταῦτα μαθόντες P

ad 19,15–16 ταύτας] σχόλιον. ἀσάφως πέφρασται τὸ χωρίον, διόπερ ὀλίγα περὶ αὐτοῦ ῥητέον· πρῶτον δὲ τοῦτο ὥς τινες ἐδόξασαν μηδὲν ἕτερον εἶναι τὴν ψυχὴν ἢ τὴν τοιάνδε κρᾶσιν τῶν στοιχείων, ἧς ἀποτελέσματά εἰσιν αἱ ψυχικαὶ λεγόμεναι ἐνέργειαι. τοῦτο δέ ἐστιν ὅ φησιν ὁ διδάσκαλος ζητῶν εἰ ἔστιν ἀσώματός τις οὐσία τῆς ψυχῆς· ἢ τοῦτο μὲν οὐκ ἔστιν οὔτε ἐξ οὐσίας τινὸς ἀσωμάτου ἡ δύναμις αὕτη πρόεισιν ἡ τὰς ἐνεργείας τὰς ψυχικὰς ἐκτελεοῦσα, μόνον δὲ ἡ ποιὰ κρᾶσις τῶν στοιχείων τήν τε δύναμιν παρομαρτοῦσαν ἔχει καὶ τὰς ἐνεργείας ὑπὸ ταύτης ἐκτελουμένας, ὥσπερ τῇ τοιᾷδε κατασκευῇ τῶν μηχανημάτων τὰ δι' αὐτῶν γινόμενα ἀκολουθεῖ. BGP

ad 20,10 κίνησίς τις] ἀντὶ τοῦ· ἥτις ἐνέργεια. BG

ad 20,11–12 τί ἂν μᾶλλον] ὧδέ ἐστιν ἡ ἀπόδοσις πάσης τῆς ἐρωτήσεως, τῆς δὲ τῶν ῥημάτων συντάξεως τὸν σκοπὸν οὕτω νόησον· τί δὲ εἶπον εἰ, ὥσπερ λέγοι τις κατὰ τὸν λόγον τούτων τουτέστι τῶν εἰρημένων περὶ τῆς ὕλης καὶ τῶν εἰδῶν οὐσιωμένην εἶναι δύναμιν φυσικῶς ἐνεργοῦσαν κατὰ τὴν τοῦ μηχανήματος τέχνην, ταῦτα καὶ περὶ τῆς ψυχῆς λέγοιμεν· Τί ἂν μᾶλλον περὶ αὐτῆς δεικνύοιτο διὰ τῶν λεχθέντων ἢ τὸ εἶναι αὐτὴν οὐσιωδῶς ὑφεστῶσαν ἐφ' ἑαυτῆς ἢ μηδὲ ὅλως εἶναι; BG

ad 21,8 κενόν] σχόλιον. κενόν ἐστι τόπος ἐστερημένος σώματος, ὅπερ φασὶν οἱ τὰ ὑλικὰ φιλοσοφήσαντες μηδέποτε γίνεσθαι ἀλλὰ πάντα τόπον ἢ αἰσθητόν τι περιέχειν ἢ πάντως γοῦν ἀέρα. BGP

ad 21,11 ἐκ καταχρήσεως] τουτέστιν οὐ κυρίως. BG

ad 21,13 τὸν ἀμφορέα] τὸν κέραμον. BGA

ad 23,3 ἀνδρείκελος] ἀνδριὰς ἀνδρὶ ὅμοιος. G

ad 23,5 κατὰ τὸ συμβάν] ὡς ἔτυχεν. G

ad 23,19 ὅ τί ποτε] τί ἄρα; BGA

1 σχόλιον om P   3 τοιάνδε κρᾶσιν om P   4 δὲ om BG   7 αὕτη: αὐτῇ G   8 μόνη P   9 ὅπερ P   10–11 ἀκολουθεῖν P   12 cf. C ἥτις   13–20 P aliter sed perperam   17 φυσικὴν B   18 λέγοι B δείκνυται BG correxit Hörner   21 σχόλιον om BP   22 τὴν ὑλικὴν P   23 τι om B   παντὸς G   post ἀέρα add καὶ τοῦτο διὰ πολλῶν καὶ ἄλλων ἔστιν εὑρεῖν καὶ μαθεῖν P   26 ἀνδρίας ἀνδριόμοιος G correxi

ad 24,3 μανθάνομεν] ὅτι διὰ τῶν ἀποφάσεων τὰς καταφάσεις μανθάνομεν τουτέστι διὰ τῶν στερήσεων τὰς ἕξεις. BGP

ad 24,5 διερμηνεύοντες] εἰδέναι δεῖ ὅτι διαβέβληται ὁ ἐξ ἀναιρέσεως ὁρισμὸς τῶν πραγμάτων, ἐπειδὴ τί μὲν οὐκ ἔστι τὸ προκείμενον δηλοῖ, τί δὲ ἔστιν οὐκ ἐσήμανεν, εἰ μή τις εἴποι ὅτι ἐπὶ τῶν ἀμέσων ἐναντίων ἡ τοῦ ἑνὸς ἀναίρεσις εἰσάγει τὸ ἕτερον τὸ μηδὲν ὑπάρχειν ἑκατέρων ἐν μέσῳ ὡς ἐπὶ τοῦ ἀγαθοῦ καὶ πονηροῦ καὶ δειλοῦ καὶ ἀνδρείου. BGP

ad 24,15 ἱκανῶς] ἡ σύνταξις οὕτως ἐστίν· ἱκανῶς ἂν εὕροι μαθεῖν τὸ μὴ εἶναι τοῦτο αὐτὸ ὃ καταλαμβάνει ἡ αἴσθησις. BGP

ad 25,9 ἀφάσσοντες] ψηλαφῶντες. BGAPC

ad 25,10 θιγγάνομεν] ψαύομεν, ἁπτόμεθα. GAC

ad 25,10 σχετλιάσασα] ὀδυραμένη. BG

ad 26,3 ἐκεῖ] περὶ τῆς θείας φύσεως. BGA

ad 26,3 ταῦτα] τὰ αἰσθητά. BG

ad 26,11 ὅμοιον] ὅτι ὅμοιος μέν ἐστι τῷ θεῷ ὁ ἡμέτερος νοῦς, οὐκέτι δὲ ὁμοούσιος, καὶ πῶς δεῖ νοεῖν τὴν διαφοράν. BGAP

ad 26,17–18 ἐν οἷς] ἐν τῷ νοερῷ καὶ ἀσωμάτῳ καὶ ἀδιαστάτῳ. BGAP

ad 26,18 ἐκεῖνο] τὸ θεῖον ἀντὶ τοῦ Τὸ ἀρχέτυπον. BGP

ad 27,1 τοῦτο] τὸν νοῦν τουτέστι τὸ κατ' εἰκόνα. BGP

ad 27,1 ψήγματι] ψαλίσματι ἢ θρύμματι. σημείωσον τὸ ὑπόδειγμα. BG

ad 28,1 ὑπόστασις] ἀντὶ τοῦ Ὕπαρξις, καὶ σημείωσον ὅτι ἐκ τῆς τῶν στοιχείων κράσεως ἔχουσι τὴν οὐσίαν διὰ τοὺς ἄϋλον εἶναι λέγοντας τὸ ἐξ ἀναστάσεως ἡμῶν σῶμα διὰ τὸ εἰπεῖν τὸν ἀπόστολον Ἐγείρεται σῶμα πνευματικόν (I Cor. 15,44). ἀνάγνωθι τὰ ἑξῆς. BGP

ad 28,7 τὸ συνδέον] συνδεσμοῦν. GC

ad 28,12 ποιότητα] τουτέστι θερμότητα. BG

ad 28,14 συγκρίματος] συμπλοκῆς τουτέστι τοῦ σώματος. BG

1 διά: ἀπὸ G 3 σχόλιον sscr G βέβληται P 4 τί: τὸ P 6 ἄγει GP 8 ἀνανδρείου G 9 ἡ ... ἐστίν (om B): ὡς εἶναι τὴν σύνταξιν οὕτως P 12 ψάλομεν G ἁπτόμεθα om C 14 ἐπὶ τῶν B παρὰ τῆς A 18 ἀδιαλύτῳ P 19 ἀντὶ ... ἀρχέτυπον om B 20 τὸν νοῦν om P 22 τῆς ὑπάρξεως P σημείωσον (sic) G 24 τὸ alt τοῦ P 25 Ἐγείρεται: ἐγένετο P 27 συνδεσμοῦ G

ad 28,15 ἑκάστῳ] σημείωσον τοῦτο. πάνυ γὰρ οἴεται τοῖς πολλοῖς ἄπιστον εἶναι τῇ τε θείᾳ γραφῇ ἀσύμφωνον· πῶς γάρ, φασίν, ἐν τοῖς ἁπανταχῇ διακεκριμένοις στοιχείοις ἔσται ἡ ψυχὴ ἐν τόπῳ τινὶ καταλλήλῳ τῆς οἰκείας ἐν τῷ βίῳ τούτῳ διαγωγῆς περιγεγράφθαι λεγομένη; ἢ γὰρ ὡς ἁμαρτωλὴ ἐν ᾅδῃ ἐστὶν ἢ ὡς δικαιοπραγὴς ἐν τόπῳ τρυφῆς καὶ ἀναπαύσεως τῷ λεγομένῳ παραδείσῳ. πῶς οὖν ἐν τοῖς διεσπαρμένοις στοιχειωτικοῖς μέρεσιν πάσης ⟨τῆς⟩ ὁρατῆς κτίσεως ἔσται ἡ ἐν τόπῳ τινὶ περιγεγραμμένη, ὡς εἴρεται; πρὸς οὓς ταῦτα ῥητέον· εὐσεβῶς, ὦ οὗτοι, τὸ λεχθὲν νοητέον καὶ συνετῶς, ὅτι μὴ διεσπάσθαι τοῖς τῆς ὕλης μέρεσιν τὴν ὑπόστασίν φησι τῆς ψυχῆς, ἄτοπον γὰρ τοῦτό γε, ἀλλ᾽ ὅτι νοερῶς μεμνημένη τῆς συμφυοῦς συγκράσεως τοῦ ἰδίου σώματος καὶ μετὰ λύσιν δοκεῖ πως συμπαρεῖναι τούτῳ τῷ ἀπεριγράπτῳ τῆς νοερᾶς δυνάμεως σχετικῶς τε καὶ γνωστικῶς ἡνωμένη. ἀνάγνωθι τὰ ἑξῆς. BGP

ad 28,17 ἀρρήτῳ] κατὰ κοινοῦ τὸ Οὐδὲν ἔξω τοῦ εἰκότος ἐστὶν προσυπάκουσον. BG

ad 28,18 συγκρίματι] ὅτι καὶ μετὰ τὴν διάλυσιν τοῦ συνθέτου τούτου σώματος τοῖς αὐτοῦ μέρεσιν ἐνυπάρχει ἡ ψυχή. BGP

ad 30,13 ποιάν] ποιά εἰσι τὰ χαρακτηρίζοντα τὴν τοῦ σώματος ὑπόστασιν. P

ad 30,16 διανοίᾳ] σημείωσον ὅτι κατὰ τὸν παρ᾽ ἡμῶν ἀνωτέρω ῥηθέντα σκοπὸν ἐν τῷ πρὸ τούτου φύλλῳ ⟨δεῖ⟩ τὰ ἐκεῖσε ῥηθέντα ἐκδέχεσθαι. ἀνάγνωθι τὰ ἑξῆς. BG

ad 31,16 Ἐγὼ δέ] ὁ ἐπίσκοπος ὡς ἐν ἀντιθέσει φησίν. BGA

ad 31,17 οὐχ ἱκανῶς] ὅτι ὡς διαπορῶν ἐνταῦθα φαίνεται περὶ τῶν ψυχικῶν δυνάμεων. P

ad 32,5 πολλή] σημείωσον περὶ θυμητικοῦ καὶ ἐπιθυμητικοῦ. BG

ad 32,12 δυοῖν ἀτόποιν] διλήμματος ἀπορία. BG

1 σημείωσον ... γὰρ: τοῦτο γὰρ κατὰ πολὺ P πολλοῖς: πιστοῖς P 2 φησι G α vel η in correctura P 5 ἁμαρτωλὸν P 7 add τῆς ante πάσης B correxi 8 ἡ om P περιγεγραμμένω P 12 καὶ om G add τὴν ante λύσιν P 13 τῷ om G 14 τε om P ἀνάγνωθι τὰ ἑξῆς om P 17 ὅτι om P 18 συνυπάρχει P 22 ῥηθέντα: νοηθέντα G φύλλῳ om G δεῖ coniecit Hörner: ἀεὶ B διὰ G 25 διὰ πυρῶν P correxi 25–26 cf. BGA ἀπορεῖ περὶ τῶν ἐν τῇ ψυχῇ δυνάμεων

32,18 Πολλοῖς] ἡ διδάσκαλος ἀπαντᾷ τῇ ἀντιθέσει γραφικῶς τὸ ἄπορον θεραποῦσα. BGAP

ad 32,19 ταῦτα] περὶ τοῦ ἐν ἡμῖν θυμοειδοῦς καὶ ἐπιθυμητικοῦ. BG

ad 33,12 κεχρημένοι] σημείωσον ὅτι κατὰ τὸν τῆς θείας γραφῆς σκοπὸν ἡ περὶ τῆς ψυχῆς διδασκαλία τῷ συγγραφεῖ μεμελέτηται. BGAP

ad 33,14 Πλατωνικόν] σχόλιον. διάλογον ὁ Πλάτων ἐποιήσατο περὶ ψυχῆς ὃν Φαίδονα ἐπέγραψεν, ἐν ᾧ τὸ μὲν θυμοειδὲς καὶ ἐπιθυμητικὸν τῆς ψυχῆς μέρος συζυγίᾳ πώλων ἀπείκασε τὸ δὲ διανοητικὸν ἤγουν τὸν νοῦν ἡνιόχῳ. BGAP

ad 33,15 ξυνωρίδα] συζυγίαν. BG

ad 33,18 φιλόσοφος] τὸν Ἀριστοτέλην φησίν. BGA

ad 34,6 καί] ὅτι θεῖά ἐστι τὰ ἐν τῇ ψυχῇ καλά. BG

ad 35,2 τὸ λογικόν] ὁρισμός τῆς ἀνθρώπου οὐσίας. BGA

ad 35,5 ἐνεώρα] εἰ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία τῆς ἀνθρωπίας ἐστὶν οὐσίας, καὶ περὶ κοινοῦ καὶ ἰδίου. BGA

ad 35,16 ἐνέργεια] ἔνιοι δέ φασιν ὅτι μέρη ψυχῆς ἐστι τὸ λογικὸν καὶ θυμοειδὲς καὶ ἐπιθυμητικόν. τὸ δὲ θυμοῦσθαι καὶ ἐπιθυμεῖν οὐκ εἰσι μέρη ἀλλὰ πάθη ψυχῆς, ἅ γε καὶ ἐν τῷ θυμῷ καὶ ἐπιθυμητικῷ θεωρεῖται. P

ad 36,8 ᾗ] ἐν ἄλλῳ· εἰ καί εἰσί γέ τινες. BG

ad 36,15 φύσις] ὅτι οὐ φυσικῶς ἐστιν ἐν τῷ ἀνθρώπῳ ὁ χυμός. BGAP

ad 37,7 θυμός] τί ἐστι θυμός; G

ad 37,9 ἔφεσιν] τί ἐστιν ἐπιθυμία; BG

ad 37,14 δειλία] πρὸ τὸ Ἐνδείκνυται (l. 12) ταῦτα σύνταξον. GA

ad 38,4 ἀμφοτέρων] ἐκ τοῦ θυμοειδοῦς καὶ ἐπιθυμητικοῦ. BG

περὶ δειλίας καὶ θράσους καὶ φόβου καὶ καταφρονήσεως καὶ λύπης καὶ ἡδονῆς, καὶ ὅτι πάντα περὶ τὸ θυμοειδὲς καὶ ἐπιθυμητικὸν συνίσταται. GA

1 add ἐνταῦθα ante ἡ P   ἀπαντᾷ: ἅπαντα AP   4 σημείωσον om AP   τὸν om GA   5 ἡ om A   6 σχόλιον om BP   7 ὑπέγραψεν B   9 ἡνιόχῳ ante 8 τὸ coll P   12 καλὰ om G   15 καὶ pr … ἰδίου om B   21 φυσικός A   χυμός B: θυμὸς καὶ ἡ ἐπιθυμία cett   22 cf. A ὅρος θυμοῦ   23 cf. A ὅρος ἐπιθυμίας   27 add τὸ ante ἐπιθυμητικὸν A

ad 38,11 μυρμηκίαι] πάθος τι περὶ τὸ δέρμα τοῦ σώματος ἡμῖν γίνεται ὃ καλεῖται Μυρμηκία (l. 11)· σαρκώδης γάρ τις ἐπίφυσις μικρὰ ἐπανίσταται τῷ δέρματι, ἥτις δοκεῖ μὲν μέρος εἶναι τοῦ δέρματος ὡς προσπεφυκυῖα αὐτῷ, οὐ μὴν κατὰ ἀλήθειαν οὕτως ἔχει, ὅθεν καὶ τὴν ἄρσιν πρὸς τὴν θεραπείαν ἐπιζητεῖ. τούτῳ ὑποδείγματι ἐχρήσατο πρὸς τὸ προκείμενον σφόδρα καταλλήλῳ. BGAP

ad 40,13 πρῶτον] σημείωσον τὴν παροῦσαν διαίρεσιν. BG

ad 40,15 οὐκοῦν] γέγραπται ἐν τῇ ἀρχῇ τοῦ βιβλίου τὸ παρὸν θεώρημα. BG

ad 40,17 μετέχον] τούτῳ καὶ τὰ φυτὰ ἔμψυχα λέγεται αἰσθήσεως ἀμοιροῦντα. BGP

ad 40,17 ζώντων] οἷα τὰ αὐξητικὴν καὶ θρεπτικὴν μόνον ἔχοντα ζωήν. BGP

ad 41,12 ἐφελκτικόν] ἐπιθυμητικόν. BGAC

ad 43,2 κατόπιν] ὀπίσω. BG

ad 44,11 θεωρία] σημείωσον πῶς λαμβάνει ὁ πατὴρ τὴν παραβολὴν τῶν ζιζανίων. BG

ad 44,20 ὁρμάς] τὰς περὶ τὸ θυμοῦσθαι δεόντως γινομένας καὶ περὶ τὸ ἐπιθυμεῖν ὧν δεῖ, τὰς προειρημένας δηλονότι κινήσεις ἃς ἐκ τοῦ σωματικοῦ εἴδους τῷ νοερῷ τῆς ψυχῆς ἐμμιχθῆναι ἔφησεν. BGP

ad 45,4 ἐπεσκοτίσθη] διὰ τῆς τῶν πρωτοπλάστων παρακοῆς. BGP

ad 46,16 ἐξουσίᾳ] ὅτι πρὸς τὴν Τῶν χρωμένων διάθεσιν τὰ κινήματα ταῦτα γίνεται ἢ καλὰ ἢ κακά. BG

ad 47,6 Ἅιδου] περὶ ᾅδου. BG

ad 47,14 οὐδὲ...ἄλλο τι] σημείωσον τί σημαίνει τὸ τοῦ Ἅιδου ὄνομα καὶ πῶς λέγομεν Ἐν ᾅδῃ γίνεσθαι τῶν τεθνηκότων τὰς ψυχάς. BG

1 τὸ δέρμα: τὰ P ἡμῶν BGA 2 μυρμηκία καλεῖται coll GAP τις: ἐστιν P 4 ὡς: καὶ P 5 ἔχειν BAP 9 post βιβλίου add ἐκ διαιρέσεως G 11 add τῷ λόγῳ δηλονότι post τούτῳ P λέγονται BP 13 οἷα τὰ: οἷον τὴν P 14 ζωήν: δύναμιν P 19 τὸ: τοῦ GP 20 ἐκ: εἰς G 26 σημείωσον om B 27 ἅδου G

ad 48,15 σφαιροειδοῦς] σημείωσον ὅτι Σφαιροειδῆ φησι τὴν οὐράνιον κίνησιν. BG

ad 50,6 Ἐπιμενοῦμεν] ὅτι περὶ τῶν ψυχῶν τῶν τετελευτηκότων τὸ εἶναι μόνον ὁμολογεῖν χρή, οὐ τὸ ποῦ εἰσι ζητεῖν. BGP

ad 51,2 καταχθόνιον] σημείωσον πῶς δεῖ νοεῖν τὰ καταχθόνια καὶ τί σημαίνει τὸ ὄνομα. BG

ad 51,12 τῆς κακίας...ἀφανισθείσης] σχόλιον. Τῆς κακίας εἶπεν ἀφανισθείσης τουτέστιν ἀνενεργήτου ὑπαρχούσης. ποία γὰρ ἔσται λοιπὸν κακίας ἐνέργεια ἢ παρὰ τῶν δικαίων τῆς ἀτρέπτου τῶν οὐρανίων ἀγαθῶν καταστάσεως ἀπολαυόντων ἢ παρὰ τῶν ἁμαρτωλῶν ἐν κολάσει κατατρυχομένων καὶ μηδὲν εἶδος κακίας ἐνθυμουμένων ἔτι μᾶλλον μὲν οὖν τῆς προτέρας αὐτῶν ζωῆς καταμεμφομένων; παρ' ἑκατέρων οὖν ἡ δικαία τοῦ θεοῦ κρίσις ἐξομολογήσεται μέν, ὁ δὲ κατάλληλος τῶν βεβιωμένων κομισθήσεται μισθὸς αἰωνίως ἤτοι ἀπεράντως κατὰ τὸ γραφικὸν κήρυγμα. Τὸ γὰρ πῦρ αὐτῶν, φησίν, οὐ σβεσθήσεται καὶ ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει (Is. 66,24) καὶ τὰ τούτοις ὅμοια σποράδην κείμενα. τοίνυν ἡ κακία μὲν ἀφανισθήσεται, οὐ μὴν καὶ ἡ κόλασις, ὥς τινές φασιν ἀντινομοθετοῦντες τῷ ἐκκλησιαστικῷ δόγματι. ἀνάγνωθι τὰ ἑξῆς μετὰ ζ' φύλλα καὶ μαθήσῃ σαφῶς, ὅτι παραχαρακταὶ τῆς ἀληθείας τὰς ἐν τῷδε τῷ καταβατῷ περιγραφείσας παρ' ἐμοῦ πρὸς ἀσφάλειαν τῶν ἀκεραίων τέσσαρας λέξεις προσέθηκαν. εἰ γὰρ μὴ τοῦτο δῶμεν, μάχεται ἑαυτῇ ἡ διδάσκαλος τὰ ἐναντία τούτοις ἐπάγουσα· χωρὶς γὰρ τῆς τοιαύτης παρενθήκης οὐδὲν ἔσται παράλογον μετὰ τῆς λεχθείσης διανοίας νοούμενον. BGP

ad 52,15 ὑπάρχουσαν] σχόλιον. μέχρι τῶν ἐνταῦθα ὅτι ἔστιν ἡ ψυχὴ καὶ μετὰ θάνατον δέδεικται καὶ ὅτι οὐδὲ τότε τῶν στοιχείων BGP

1 σφαιροειδῆς G add τὸν post φησι BG seclusi 1–2 οὐρανίων G 4 μόνον om P 7 σχόλιον om GP ἀκακίας G 8 ἀνεργήτου B ὁποία P 9 τῶν δικαίων om GP ἀτρέπτου om P 10 ἀπολαβόντων P παρὰ: περὶ P 11 κακίας εἶδος coll P 13 τοῦ θεοῦ om P 14 μέν om P 16 φησίν om P 19–20 τὰ ... φύλλα: γὰρ τὸ ἐφεξῆς P 20 ζ' om G spatio relicto 21 καταβατῷ: κατα P παραγραφείσας P 22 ἀκαιρέων BG μὴ γὰρ coll P 23 ἑαυτὴν B αὐτῇ P τὴν ἐναντίαν P 24 ἐστι P 26 σχόλιον om BP

κεχώρισται ἐξ ὧν τὸ ἴδιον αὐτῆς σκῆνος συνέκειτο. ἐντεῦθεν λοιπὸν ζητεῖται, πῶς γινώσκει ταῦτα, ἵνα μήτε διαλυθέντων χωρισθείη μήτε κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν πάλιν ἑνουμένων ἐκτὸς αὐτῶν ὑπάρχοι.

ad 53,7 ζωγράφου] σημείωσον τὸ ὑπόδειγμα. B

ad 54,21 γνωστικῇ] σημείωσον ὅτι τῇ γνώσει φασὶ συνεῖναι τὴν ψυχὴν τοῖς τοῦ ἰδίου σώματος μέρεσιν Καὶ μετὰ διάλυσιν (l. 18) καὶ οὐχὶ κατ' οὐσίαν καὶ ὑπόστασιν, καὶ μέμνησο τῶν ἔμπροσθεν ἐν τῷ ις' κεφαλαίῳ εἰρημένων καὶ ἀνάγνωθι τὰ ἑξῆς. BG

ad 54,24 ἀνάστασις] σημείωσιν ὅτι ἀνάστασιν εἶναι Κυρίως φησὶ τὴν εἰς ἄλληλα συνδρομὴν τῶν τοῦ σώματος διαλυθέντων μερῶν. ἀνάγνωθι τὰ ἑξῆς. BG

ad 55,3 ἀπομαχομένους] ὧν καὶ Ὠριγένης ἐστὶν καὶ ὁ πηρὸς τὰς ὄψεις Δίδυμος καὶ Εὐάγριος καὶ οἱ ἐκ τούτων μέχρι τοῦ νῦν τῷ τῆς ἀληθείας ἀνθιστάμενοι δόγματι. BG

ad 55,9 ἐν τῷδε] ἐν Παύλῳ φέρε ἢ Ἀπέλλῃ. BG

ad 55,9 θερμόν] τὰ τοιαῦτα καὶ Ὠριγένης ἐν τῷ Περὶ ἀναστάσεως λόγῳ κατασκευάζει πρὸς ἀναίρεσιν τῆς τῶν ἡμετέρων σωμάτων ἀληθοῦς ἀναστάσεως ἕτερον ἀέριον ἀντὶ τοῦ γηΐνου ἡμῶν ἀναπλαττόμενον σῶμα. ἀνάγνωθι τὰ ἑξῆς. BG

ad 55,9 καθ' ὅλου] ἐν τῷ στοιχείῳ ὅλῳ. BG

ad 55,10 συγγενοῦς] τοῦ θερμοῦ· τὸ γὰρ θερμὸν τῷ θερμῷ συγενές. BG

ad 55,10 ἀποκριθῆναι] χωρισθῆναι τὸ μερικὸν ἀπὸ τοῦ καθόλου. BG

ad 55,14 δημιουργία] νέου, οὐκ αὐτοῦ τοῦ παλαιοῦ τοῦ ἀποθανόντος ἀνανέωσις. BG

ad 55,18 ὑπόληψις] σημείωσον δόγμα περὶ ψυχῆς. B

ad 56,2 λεπτομερείᾳ] ἐν τῷ καταμερίζεσθαι...εἰς λεπτὰ κατατεμνόμενα τῇ ...λότητι μίγνυσθαι. B

ad 56,7–8 ἐνδόσιμον] σημείωσον καὶ τὴν παραβολὴν καὶ τὸ θεώρημα τὸν τρόπον ὑφηγόμενον τῆς ἐλπιζομέμης ἀναπλάσεως ἡμῶν. BG

ad 56,13 ἀρχαῖον] σημείωσον τὸ Πρὸς τὸ ἀρχαῖον καὶ σύνηθες. οὐκοῦν τὸ αὐτὸ σῶμα καὶ οὐχ ἕτερον ἀναστήσεται. G

1 ἐξ: ἀφ' P   4 ὑπάρχει P   8–9 ἐν ... ἑξῆς: εἴρηται B (postea adscripsit ut videtur)   11 post διαλυθέντων add τῶν G   13 add σχόλιον ante ὧν G   21 τῷ et ὅλῳ om G   27 margine abscisso B   30 ἀναστάσεως G

ad 56,18 κεραμεύοντι] ἑτέρα παραβολὴ εἰς τὸ αὐτὸ ἁρμοδιωτέρα, διότι καὶ τῆς διδασκάλου ἐστίν, ὥς φησιν ὁ μακάριος ἢ κοσμῶν τὴν ἁγίαν ἢ καὶ κατ᾿ ἀλήθειαν τὰ τελειότερα παρ᾿ αὐτῆς μεμαθηκώς. BG

ad 57,8 τρύφος] κλάσμα. BG

ad 58,2 διήγημα] σημείωσον τὸ κατὰ τὸν Λάζαρον καὶ τὸν πλούσιον. BG

ad 58,7 ἐξεταστικῶς] τὴν παραβολὴν τοῦ πλουσίου καὶ τοῦ πένητος ἐξηγεῖται ἀναγωγικῶς. BG

ad 59,16 μονοειδὴς ἦν] σημείωσον ὅτι Μονοειδὴς ἦν τὸ κατ᾿ ἀρχὰς ἡ τῶν ἀνθρώπων ζωή. BG

ad 60,6 ἔξω] τουτέστιν εἰς τὴν πνευματικὴν ζωὴν τὴν μέλλουσαν, καθ᾿ ἣν ὡς ἀσώματοι μετὰ σωμάτων βιοτεύσομεν μὴ δεόμενοι τῶν σωματικῶν χρειῶν ὧν νῦν ἐπιδεεῖς ἐσμεν ἀναγκαίως οἷον τροφῶν ἐνδυμάτων γάμων καὶ τῶν ὁμοίων. Ἐν γὰρ τῇ ἀναστάσει, φησίν, οὐ γαμοῦσιν οὔτε γαμίσκονται ἀλλ᾿ εἰσὶν ὡς ἄγγελοι (Marc. 12,25), καὶ πάλιν Ἡ βασιλεία τῶν οὐρανῶν οὐκ ἔστιν βρῶσις καὶ πόσις (Rom. 14,17). οὕτω τοίνυν νόησον Τὴν ἔξω τοῦ σώματος ζωήν· οὐ γὰρ ὅτι μέλλομεν ἀσωμάτως βιοῦν ψυχαὶ μόνον ὄντες ἀλλ᾿ ὡς ἄγγελοι σαρκικῆς μὴ χρῄζοντες διαίτης, ἐπεί, ὅτι σὺν τῷ σώματι τούτῳ ἔσονται καὶ τότε αἱ ψυχαί, πρό τινων εἶπε φύλλων καὶ ἐν τοῖς ἑξῆς δὲ πάλιν ἐρεῖ, ἐν ᾧ καὶ τὸ τῆς προβιοτῆς ἀνατρέψει δόγμα. BGP

ad 60,6 σώματος] τοῦ σώματος δηλονότι τοῦ τοιούτου. οὔτε γὰρ ἀσώματον λέγει πολιτείαν τὴν ἐν τῇ ἀναστάσει, εἴ γε Συνδρομὴν (p. 54,23) πάλιν ἔσεσθαι τῶν στοιχείων εἶπεν κατὰ τὴν ἀνάστασιν καὶ ἀνάπλασιν τῶν ἡμετέρων σωμάτων. εἰ δὲ περὶ τῆς μετὰ θάνατον καταστάσεως τῶν ψυχῶν φησιν, αὐτόθεν δῆλος ὁ λόγος· ὡς ἀσώματος μέν ἐστιν, οὐ μὴν τηνικαῦτα τελείαν τῶν ἀγαθῶν ἴσχει τὴν ἀπόλαυσιν. BGP

1 τὸ αὐτὸ: τοῦτο G 3 καὶ om B 7 ante τὴν adscripsit σημείωσον sed erasit G 12 βιωτεύομεν BP 20–21 πρό ... δόγμα om B 20 πρό ... φύλλων: ἀνωτέρω ἔφη G 21 τῆς ... ἀνατρέψει: πρὸ τούτου ἀνατρέπει P 22 add σημείωσον ante τοῦ B τοῦ σώματος τοῦ τοιούτου δηλονότι coll BG (sed del τοῦ ... τοιούτου) 25 τῆς μετὰ: τῆς π sscr μ B (om περὶ) 26 add τὸν ante θάνατον B 27 ὡς om P add δὲ post μὴν P 28 ἔσχε P ἀπόληψιν B

ad 60,9 ἀΐδιον] σημείωσον ὅτι ἀτελευτήτως τε καὶ ἀπεράτως ἑκατέραν εἶναι κατάστασιν ἐν τῷ μέλλοντι αἰῶνι κατάλληλον τοῖς ἐνταῦθα βεβιωμένοις εἴρηκεν. ἀνάγνωθι καὶ τὰ ἐν τῷ ἑξῆς φύλλῳ καὶ μέμνησο αὐτῶν ἀκριβῶς διὰ τὰ προτεθέντα κακῶς καὶ ἐν τοῖς ἐφεξῆς. BGP

ad 60,12 ἡ ἀπειρία] τουτέστι τὸ διηνεκές. BG

ad 61,1–2 μεταμελείας] σημείωσον ὅτι τὸν μὴ μετανοήσαντα ἐνταῦθα παντελῶς ἀμέτοχόν φησι τῆς τῶν οὐρανῶν βασιλείας. μέμνησο τῶν ἔμπροσθεν, ἀκριβῶς καὶ συνετῶς τὰ μετὰ ταῦτα νόησον καὶ εὑρήσεις τὴν δοκοῦν ἐναντιότητα ξένην οὖσαν τῆς σοφῆς ταύτης διδασκάλου παρεντεθεῖσαν ὑπό τινων τῇ θείᾳ γραφῇ μαχομένων καὶ βασιλικὸν χάραγμα τῆς ἀληθείας παραχαράξαι σπουδασάντων. BGP

ad 61,2 ἄβατον] σημείωσον ὅτι Ἄβατόν φησι τοῖς ἁμαρτωλοῖς τὴν βασιλείαν τῶν οὐρανῶν. πῶς οὖν φασιν αὐτόν τινες πεπερασμένην λέγειν τὴν κόλασιν; μέμνησο τῶν ἐν τῷ λς´ εἰρημένων καὶ ἀνάγνωθι τὰ ἑξῆς. BG

ad 61,4 ἀχανές] σφόδρα ἀνωρυγμένον τουτέστι μέγα. GP

ad 61,6 κόλπον] τί ἐστιν Κόλπος τοῦ Ἀβραάμ. B

61,17 γίνεται] σημείωσον τί φησι τὴν Φλόγα καὶ τὴν Σταγόνα (l. 18) τοῦ ὕδατος, καὶ ὅτι ⟨θεῶσιν⟩ οἱ ἁμαρτωλοὶ τὴν τῶν δικαίων ἀνάπαυλαν, αὐτοὶ ταύτης μὴ μετέχοντες. BGP

ad 61,18 διασμύχουσα] ἔνδον κεκρυμμένως κατεσθίουσα. BG

ad 61,20 γλῶσσαν…δάκτυλον] γλῶσσαν καὶ ὀφθαλμοὺς καὶ δάκτυλον μὴ παχυμερῶς ἀλλὰ ἀσωμάτως καὶ νοερῶς νόει. P

ad 62,5 αἰτίας] οὐσίας. BG

1 σημείωσον om P   3–5 ἀνάγνωθι … ἐφεξῆς om G   3 add δὲ ante καὶ P   ἐν … φύλλῳ: ἔμπροσθεν ῥητὰ P   4 προτεθέντα: ἔμπροσθεν τεθέντα P   4–5 καὶ ἐν τοῖς ἐφεξῆς om P   7 σημείωσον om BP   9 τῶν om GP   11 διδασκαλίας BG   12 βασιλικὸν … ἀληθείας: τὴν ἀλήθειαν P   12–13 παραχαράξαι σπουδασάντων: παραχαράξαντας G παραχαραξάντων P   14 σημείωσον om BP   ὅτι om P   16–17 μέμνησο … ἑξῆς om P   16 ἐν … εἰρημένων: πρὸ αὐτοῦ B   20 σημείωσον om P   21 θέουσιν B θέοῦσιν G θέλουσιν P correxit Hörner   21–22 τὴν … ἀνάπαυλαν: τῆς … ἀναπαύσεως P   22 ταύτην μὴ μεταδόντες P   24–25 cf. B τί ὀφθαλμοὶ καὶ γλῶσσαι καὶ δάκτυλος;

ad 62,6 πρὸς τὸ πᾶν] πρὸς τὰς ὁλότητας. BGP

ad 62,7 πλήρωμα] ὁλοκλήρως τὰ μέρη τῶν στοιχείων, ἐκεῖνα ἐξ ὧν BGP τὸ σῶμα συνέκειτο.

ad 62,8 ἐν αὐτοῖς] σημείωσον ὅτι τὴν νοερὰν αὐτῆς φύσιν ὡσανεὶ BGP παρουσίαν ἐκλαμβάνει καὶ οὐχὶ τὴν καθ' ὑπόστασιν ἐν ἅπασιν πάροδον. πῶς γὰρ ἐνεχώρει τοῦτο γενέσθαι; μωρὸν γὰρ καὶ εἰπεῖν ὅτι συνδιέσπαρται ἡ ψυχὴ τοῖς τοῦ σώματος μέρεσιν ἀναλυθέντος εἰς τὸ πλήρωμα τῶν ὅλων ἀφ' οὗ καὶ συνεκράθη.

ad 62,13 οἷς ἐνυπάρχει] τὸ λεγόμενον τοιοῦτόν ἐστιν· ἐν τοῖς BGP στοιχείοις τοῦδε τοῦ σώματος καὶ μετὰ τὴν διάζευξιν ἐνυπάρχει ἡ ψυχή, ὡς ἀνωτέρω δέδεικται, δηλονότι καὶ τοῖς μέρεσιν αὐτῶν ἐνυπάρχει ἐξ ὧν τὰ μέρη τοῦ σώματος συνέκειτο. εἰ γὰρ τῶν ὅλων ἐφάπτεται, καὶ τῶν μερῶν καὶ ἔσται. τίς ἡνώμενος καὶ ἐνθεωρούμενος αὐτῇ λόγος; οὐ μόνον ὅλου τοῦ σώματος ἐν ᾧπερ ὑπῆρχεν πρότερον ἀλλὰ καὶ τῶν τοῦ σώματος μελῶν. διόπερ φησὶ καὶ μετὰ τὴν ἐκ τοῦ σώματος ἀπαλλαγήν. οὐκ ὤκνησεν ὁ λόγος τὰ τοῦ σώματος μέλη ἐνθεωρῆσαι αὐτῇ ἐνυπάρχοντα οἷς ποτε καὶ ἐνεργείᾳ συνῆν.

ad 62,18 ᾄδην] τί δεῖ νομίζειν ἡμᾶς τὸν ᾄδην ὑπάρχειν; GP

ad 62,19 κατάστασιν] σημείωσον Κατάστασιν ἀσώματον ἢ νῦν BGP πρὶν ἀπολαβεῖν τὴν σύζυγον αὐτῆς σάρκα ἢ καθὼς πρό τινων φύλλων εἰρήκαμεν.

ad 63,5 παραμένειν] κατὰ τὸ Ἐποίησεν (p. 62,23) προσυπάκου- BG σον.

ad 63,5 προσλιπαροῦντα] παρακαλοῦντα. G

ad 63,11 ἰξῷ] σημείωσον ὅτι καὶ μετὰ θάνατον σύνεστι τῇ ψυχῇ τῶν BGP πραγμάτων ἐκείνων ἡ προσπάθεια, πρὸς ἃ κατὰ τὸν παρόντα βίον τὴν σχέσιν ἐπέκηκτο προσεχῶς. ἀνάγνωθι τὰ ἑξῆς.

ad 63,12 προσέχεται] κρατεῖται. BG

4 σημείωσον ὅτι om P   5 προσλαμβάνει P   οὐχὶ τὴν: οὐχ αὐτὴν P   7 συνδιεσπάσθη P   8 ὅλων: ὄντων P   12 συνέκειτο τοῦ σώματος coll G   13 καὶ alt om P   14 ᾧ P   16 ἐκ om P   18 συνεῖναι P   20 σημείωσον om P   21–22 πρό ... εἰρήκαμεν: καὶ προειρήκαμεν B ἀνωτέρω εἰρήκαμεν G   26 σημείωσον om P   27 κατὰ: καὶ GP

ad 63,17 ὅτι μάλιστα] ὅτι ὁ ἐνάρετος ἐντεῦθεν ἤδη χωρίζεταί πως τῆς πρὸς τὴν σαρκώδη ζωὴν σχέσεως. BGP

ad 64,1 ἀποκαθαίροντος] τοῦ μηκέτι τὸν νοῦν ἐνασχολεῖν ταῖς προσπαθείαις ἀλλὰ μᾶλλον ταῖς πνευματικαῖς· καὶ τοῦτό ἐστιν ὃ εἶπεν ἔμπροσθεν Τῆς κακίας ἀφανισθείσης (p. 51,12). BGP

ad 64,3 ἀχθηδόνος] βάρους. BG

ad 64,4 ἀποσαρκωθείη] σημείωσον ὅτι ὁ φιλόσαρκος καὶ ἀποθνήσκων οὐκ ἐλευτεροῦται τῆς σαρκικῆς δυσωδίας. BGP

ad 64,6 ἀσχολῶν] τοῖς σαρκικοῖς καὶ μόνον προσπάσχων παθήμασιν δηλονότι. BGP

ad 65,7 τόποις] οὐ καθ' ὑπόστασιν δηλονότι ἀλλὰ τῇ προσπαθείᾳ τῆς ἀπεριγράπτου νοερᾶς αὐτῆς δυνάμεως δοκεῖ πως συμπαραμένειν τῷ εἴδει τῆς οἰκείας σαρκός. μέμνησο τῶν ἔμπροσθεν εἰρημένων. BGP

ad 66,18 συναπτομένη] κατὰ τὴν ὁμοίωσιν δηλονότι, οὐχὶ δὲ κατὰ τὴν οὐσίαν. BGP

ad 66,9 φαμέν] κατὰ κοινοῦ τὸ Φαμέν ἢ τὸ Ἐστὶν (l. 10) προσυπάκουσον. BG

ad 66,12 ἐλευθέρα] ὅτι καὶ τὸ ἐπιθυμητικὸν ἀναιρεῖται, ὅταν Ἐν τῷ καλῷ γένηται, φησίν (l. 16), ἡ ψυχὴ μηκέτι χρῄζουσα προκοπῆς. BGP

ad 66,21 φωτί] μὴ ἐπὶ πάντων τοῦτο νομίζῃς αὐτὸν εἰρηκέναι, ἀλλ' ἐκείνων ἐν οἷς μικρά τινα τῆς ἐμπαθοῦς ζωῆς ἢ νέα λείμματα διὰ τὴν σαρκίνην ἀσθένειαν συγγνώμης ἄξια, ὧν καθαίρεσθαι τὰς ψυχάς φησιν· καθὰ καὶ ἄλλοις τισὶ τῶν πατέρων δοκεῖ, ὧν καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης καὶ Διάδοχος ὁ Φωτικῆς ἐπίσκοπός ἐστιν. εἰ γὰρ μὴ οὕτω νοήσωμεν, καὶ πᾶσι τοῖς ἄλλοις διδασκάλοις καὶ ἑαυτῷ τὰ ἐναντία δείξομεν. ἔφη γὰρ ἔμπροσθων Ἄβατον (p. 61,2) καὶ Ἀπαρόδευτον (p. 61,4) εἶναι τοῖς ἁμαρτωλοῖς τὴν τῶν ἀγαθῶν ἀπόλαυσιν, καὶ τοῖς θείοις δὲ ῥήμασι μαχόμενος ⟨ἂν⟩ ἀποφανθῇ ἀπέρατον εἶναι τούτοις τὴν κόλασιν ἀποφαινόμενος. BGAP

BGAPC 2 τῆς: τὴν B σχέσιν B 7 σημείωσον om P καὶ om P 10 δηλονότι: τὰ δὲ ἑξῆς ἀπὸ τοῦ κειμένου εἴσῃ σαφέστερον P 12 αὐτῆς: αὐτοῦ P δοκεῖν BG 21 αὐτὴν P (an recte?) 22 ἐκείνω G (ex corr) A ἢ: ἡ GA 24 καθὰ om P 26 νοήσομεν (!) post ἄλλοις coll P (διδασκάλοις om) 27 ἐναυτῷ B 29 δὲ om GP ἂν conieci

ἔσται γοῦν τοῖς ἁμαρτωλοῖς, Ἀφανισθείσης τῆς κακίας (p. 51,12), τοῦ ἀγαθοῦ ἡ ἔφεσις τῆς τῶν ἀποκειμένων τοῖς δικαίοις ἀγαθῶν ἀπολαύσεως ἀμετόχοις. μέμνησο τῶν ἔμπροσθεν.

ad 67,6 ἀληθῶς] εἰπεῖν θέλει νῦν ἐν τίσιν ἐστὶν ἡ φιλοσοφία μίμησις θεοῦ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. B

ad 67,11 κινήσει] ἀεικίνητος γάρ ἐστιν ὁ ἀνθρώπινος νοῦς. BGAP

